LUCIANO

Ἀληθῶν Διηγημάτων A-B

RELATOS VERÍDICOS

TRADUCCIÓN Y NOTAS POR ANDRÉS ESPINOSA ALARCÓN
La traducción de este volumen ha sido revisada por ALFONSO MARTÍNEZ DÍEZ
Texto griego de Luciano:
http://mercure.fltr.ucl.ac.be/Hodoi/concordances/Lucien_histoireI/
http://mercure.fltr.ucl.ac.be/Hodoi/concordances/Lucien_histoireII/

13-14

RELATOS VERÍDICOS

Ἀληθῶν Διηγημάτων Α – Β

Verae historiae I - II

Esta obra, dividida tradicionalmente en dos libros, forma parte de la llamada «literatura de evasión», tan arraigada en el imaginativo espíritu heleno, necesitado en múltiples ocasiones de relatos distensores de su arduo quehacer intelectual. No deja, sin embargo, de ofrecer por ello un marcado carácter paródico de esa misma literatura, satirizándola finamente en mil detalles (preámbulo, hipérboles, fórmulas estereotipadas, etc.), al igual que el *Quijote* es libro de caballerías y parodia caballeresca.

Los precedentes «novelescos» para esta literatura de aventuras arrancan del propio Homero de la *Odisea* y otras leyendas épicas. Entre este género y la prosa jónica median notables afinidades (cf. la aceptación de mitos y leyendas por el propio Heródoto), que, en cuanto a introducción de *ápista* o elementos maravillosos, llegan a su culminación en la historia «novelada» de Ctesias de Cnido (s. IV a. C.), autor de unas «narraciones persas», y en los «relatos indios» de Megástenes, alrededor dei 300 a. C.

Estos relatos altamente imaginativos de viajes fantásticos están, en definitiva, en la misma línea de respuesta al reto sociológico de «necesidad de evasión» que la novela griega, y tan sólo media entre aquéllos y ésta —al menos en el caso de Luciano—la esencial diferencia de no hallarse en ellos el típico patetismo erótico de la novela. Como es sabido, en tiempos recientes los hallazgos papirológicos han modificado sustancialmente la cronología tradicional de A. Nicolai y E. Rohde para ésta, rebajándola al siglo I a. C. en lo referente a sus inicios. El propio Luciano menciona a Yambulo, cuya narración novelesca de sus viajes no contenía por lo demás, según parece, elementos eróticos; ello ocurre ya, en cambio, en *Los prodigios más allá de Tule* del pitagórico ANTONIO DIÓGENES, de finales del siglo I y comienzos del II d. C., cuya obra, según nos advierte Focio, también parodió LUCIANO en sus *Relatos verídicos.* Hay, sin duda, un cúmulo de escritos de novelistas y autores de relatos novelescos, conocido muy parcialmente por nosotros, que sirve de punto de partida, siquiera sea con fines paródicos, a nuestro autor. Sobre todo ello la *Quellenforschung* se debate en ingeniosos estudios, a veces más conjeturales que indiscutibles.

El objetivo esencial de Luciano es entretener al lector, al tiempo que intenta ridiculizar a los autores de relatos prodigiosos y legendarios (cf. I 1-4). A partir de I 5, se inicia la parodia novelesca propiamente dicha: navegación allende las Columnas de Heracles por el Océano de Occidente, tempestad, isla de las vides, viaje aéreo, nueva tempestad y arribada a la Luna, encuentro con los «cabalgabuitres» y con el rey Endimión, batalla con el Sol por la Estrella de la Mañana, naturaleza sorprendente de los selenitas, visita a la Ciudad de las Lámparas, contemplación de Nubecuclillos, «amerizaje» de la nave voladora, deslizamiento de ésta con la tripulación en el interior de una gigantesca ballena, vida en el cetáceo con otros hombres y luchas con pueblos monstruosos, y visión de los hombres-islas. Aquí termina el libro primero, que comprende 42 capítulos.

El libro II, tal vez más logrado, se inicia con la muerte de la ballena, ideada por Luciano y sus compañeros incendiando el bosque que había en su interior. Una vez libres del

monstruo, prosiguen su aventurera navegación: tempestad y deslizamiento sobre el mar helado, arribada a la isla de Quesia, encuentro con los «corchópodos», desembarco en la isla llamada «de los Dichosos» (en el Hades) y encuentro con Radamantis, estancia como huéspedes de los héroes y descripción de sus costumbres, encuentro con Homero, los juegos llamados «Mortuorios», batalla con los impíos, huida de Cíniras con Helena de Troya (única concesión, de pasada, al tema erótico) y consiguiente expulsión de Luciano y sus compañeros de la isla de los Dichosos, visión de las islas de los Impíos (en ellas sitúa Luciano a Ctesias y Heródoto, entre otros, por embaucadores), estancia en la isla de los Sueños, arribada a la isla Ogigia para entregar a Calipso el mensaje de Ulises que éste les confiara en la isla de los Dichosos, encuentro con los calabazapiratas y los nueznautas, hallazgo de los «cabalgadelfines», el nido de alción gigante, prodigios «nemorosos», hallazgo de la gran sima del agua cortada, encuentro de los bucéfalos y hombres-embarcación, aventura de las «perniburras», arribada al otro continente y naufragio. Este segundo libro consta de 47 capítulos y concluye con la promesa incumplida de Luciano: «Lo que ocurrió en el otro continente lo relataré en los libros que siguen.» Tal vez nunca estuvo en su ánimo hacerlo, y nos hallamos en presencia de un tópico retórico más, de un final sorprendente lleno de misterio y —valga la expresión— relieve tridimensional, a los que tan aficionado es el escritor.

Tal vez los momentos más felices del ameno relato correspondan a la descripción de las peculiaridades y régimen de vida de los selenitas (I 22-26), la pintura del interior del cetáceo (I 31-36), la isla de los Dichosos (II 5-27) y la de los Sueños (II 32-34). En esta última narración, Luciano altera el relato homérico y lo amplía haciendo gala de su fértil imaginación. Dentro del respeto a la lengua ática más pura, Luciano se permite, esporádicamente, algún jonismo (doble sigma, desinencia *-ato)* para parodiar el dialecto de estos prosistas. Muchos rasgos paródicos y giros estilísticos imitativos de sus modelos se nos escapan hoy al desconocer éstos.

Grande fue la influencia ejercida por los *Relatos verídicos* en la literatura posterior. En ellos se inspiró Wieland, traductor de Luciano en la Alemania renacentista, en parte al menos, para escribir sus *Diálogos en el Elíseo.* En Francia, Cyrano de Bergerac los imitó en su *Histoire comique d'un voyage á la Lune.* También hallamos un eco del samosatense en el Voltaire del *Micromegas* y, en este mismo siglo XVIII y en Inglaterra, en los *Viajes de Gulliver,* de J. Swift.

La primera traducción al español de los *Relatos verídicos* se debe a FRANCISCO DE ENZINAS (con el título de *Historia verdadera,* Argentorati, 1551). Según A. TOVAR *(Luciano,* Barcelona, 1949, página 289), son «el modelo remoto de *Persiles y Sigismunda*». Para este mismo autor, el eco lucianesco resuena en toda nuestra literatura picaresca: «El tono autobiográfico, que tan cruel resulta para narrar las desgracias y humillaciones del héroe, está aprendido en el *Asno* y en la *Historia verdadera» (ibid.,* pág. 300).

Réstanos por decir que no hay asideros cronológicos convincentes para fechar la composición de esta obra, pero todo parece indicar —estilo, perfección literaria, etc.— que pertenece a un momento avanzado de la producción lucianesca (cf. L. *Antología de Luciano,* Madrid, 1970, pág. 199).

RELATOS VERÍDICOS
Ἀληθῶν Διηγημάτων Α – Β
Verae historiae I - II

[1,1] Ὥσπερ τοῖς ἀθλητικοῖς καὶ περὶ τὴν τῶν σωμάτων ἐπιμέλειαν ἀσχολουμένοις οὐ τῆς εὐεξίας μόνον οὐδὲ τῶν γυμνασίων φροντίς ἐστιν, ἀλλὰ καὶ τῆς κατὰ καιρὸν γινομένης ἀνέσεως—μέρος γοῦν τῆς ἀσκήσεως τὸ μέγιστον αὐτὴν ὑπολαμβάνουσιν—οὕτω δὴ καὶ τοῖς περὶ τοὺς λόγους ἐσπουδακόσιν ἡγοῦμαι προσήκειν μετὰ τὴν πολλὴν τῶν σπουδαιοτέρων ἀνάγνωσιν ἀνιέναι τε τὴν διάνοιαν καὶ πρὸς τὸν ἔπειτα κάματον ἀκμαιοτέραν παρασκευάζειν.

1 Al igual que los atletas y quienes tratan de mantenerse en forma no sólo cuidan de su estado físico y entrenamiento, sino también de su oportuna relajación —por entender que es la parte principal de su preparación—, asimismo interesa a los intelectuales, a mi parecer, tras una prolongada lectura de los autores más serios, relajar su mente y hacerla más vigorosa para su esfuerzo futuro.

[1,2] γένοιτο δ᾽ ἂν ἐμμελὴς ἡ ἀνάπαυσις αὐτοῖς, εἰ τοῖς τοιούτοις τῶν ἀναγνωσμάτων ὁμιλοῖεν, ἃ μὴ μόνον ἐκ τοῦ ἀστείου τε καὶ χαρίεντος ψιλὴν παρέξει τὴν ψυχαγωγίαν, ἀλλά τινα καὶ θεωρίαν οὐκ ἄμουσον ἐπιδείξεται, οἷόν τι καὶ περὶ τῶνδε τῶν συγγραμμάτων φρονήσειν ὑπολαμβάνω? οὐ γὰρ μόνον τὸ ξένον τῆς ὑποθέσεως οὐδὲ τὸ χαρίεν τῆς προαιρέσεως ἐπαγωγὸν ἔσται αὐτοῖς οὐδ᾽ ὅτι ψεύσματα ποικίλα πιθανῶς τε καὶ ἐναλήθως ἐξενηνόχαμεν, ἀλλ᾽ ὅτι καὶ τῶν ἱστορουμένων ἕκαστον οὐκ ἀκωμῳδήτως ἤνικται πρός τινας τῶν παλαιῶν ποιητῶν τε καὶ συγγραφέων καὶ φιλοσόφων πολλὰ τεράστια καὶ μυθώδη συγγεγραφότων, οὓς καὶ ὀνομαστὶ ἂν ἔγραφον, εἰ μὴ καὶ αὐτῷ σοι ἐκ τῆς ἀναγνώσεως φανεῖσθαι ἔμελλον.

2 Resultaría acorde con ellos el descanso si tomaran contacto con aquellas lecturas que no sólo ofrecen pura evasión, fruto del ingenio y humor, sino las que presentan .un contenido no ajeno a las Musas, como creo que ellos estimarán en el caso de esta obra; no sólo les atraerá lo novedoso del argumento, ni lo gracioso de su plan, ni el hecho de que contamos mentiras de todos los colores de modo convincente y verosímil, sino además el que cada historia apunta, no exenta de comicidad, a alguno de los antiguos poetas, historiadores y filósofos, que escribieron muchos relatos prodigiosos y legendarios; los habría citado por su nombre, si no se desprendieran, en tu caso[1], de la lectura.

[1,3] Κτησίας ὁ Κτησιόχου ὁ Κνίδιος, ὃς συνέγραψεν περὶ τῆς Ἰνδῶν χώρας καὶ τῶν παρ᾽ αὐτοῖς ἃ μήτε αὐτὸς εἶδεν μήτε ἄλλου ἀληθεύοντος ἤκουσεν. ἔγραψε δὲ καὶ

3 <... Citemos, por ejemplo, a>[2] Ctesias de Cnido, hijo de Ctesioco[3], que escribió sobre la India y sus peculiaridades aquello que él personalmente jamás vio, ni oyó de labios

[1] Luciano se dirige al lector.

[2] Al parecer, hay lagunas en los mss. Seguimos la lectura conjetural *hoîon,* de Bekker.

[3] Tanto Ctesias de Cnido como Yambulo son prototipos de autores de relatos fantásticos. Sus escritos se han perdido, así como los de Antonio Diógenes, posible fuente de Luciano según Focio (cf. Introducción).

Ἰαμβοῦλος περὶ τῶν ἐν τῇ μεγάλῃ θαλάττῃ πολλὰ παράδοξα, γνώριμον μὲν ἅπασι τὸ ψεῦδος πλασάμενος, οὐκ ἀτερπῆ δὲ ὅμως συνθεὶς τὴν ὑπόθεσιν. πολλοὶ δὲ καὶ ἄλλοι τὰ αὐτὰ τούτοις προελόμενοι συνέγραψαν ὡς δή τινας ἑαυτῶν πλάνας τε καὶ ἀποδημίας, θηρίων τε μεγέθη ἱστοροῦντες καὶ ἀνθρώπων ὠμότητας καὶ βίων καινότητας? ἀρχηγὸς δὲ αὐτοῖς καὶ διδάσκαλος τῆς τοιαύτης βωμολοχίας ὁ τοῦ Ὁμήρου Ὀδυσσεύς, τοῖς περὶ τὸν Ἀλκίνουν διηγούμενος ἀνέμων τε δουλείαν καὶ μονοφθάλμους καὶ ὠμοφάγους καὶ ἀγρίους τινὰς ἀνθρώπους, ἔτι δὲ πολυκέφαλα ζῷα καὶ τὰς ὑπὸ φαρμάκων τῶν ἑταίρων μεταβολάς, οἷς πολλὰ ἐκεῖνος πρὸς ἰδιώτας ἀνθρώπους τοὺς Φαίακας ἐτερατεύσατο.

fidedignos. Escribió también Yambulo muchos relatos extraños acerca de los países del Gran Mar, forjando una ficción que todos reconocen, aunque construyendo un argumento no exento de interés. Muchos otros, con idéntica intención, escribieron sobre supuestas aventuras y viajes de ellos mismos, incluyendo animales monstruosos, hombres crueles y extrañas formas de vida. Su guía y maestro de semejante charlatanería es el Ulises de Homero, que disertó ante la corte de Alcínoo[4] acerca de vientos en esclavitud y de hombres de un ojo, caníbales y salvajes; y, además, de animales de múltiples cabezas y las transformaciones de sus compañeros a causa de los elixires: con múltiples relatos de ese género dejó maravilladas a gentes tan simples como los feacios.

[1,4] τούτοις οὖν ἐντυχὼν ἅπασιν, τοῦ ψεύσασθαι μὲν οὐ σφόδρα τοὺς ἄνδρας ἐμεμψάμην, ὁρῶν ἤδη σύνηθες ὂν τοῦτο καὶ τοῖς φιλοσοφεῖν ὑπισχνουμένοις? ἐκεῖνο δὲ αὐτῶν ἐθαύμασα, εἰ ἐνόμιζον λήσειν οὐκ ἀληθῆ συγγράφοντες. διόπερ καὶ αὐτὸς ὑπὸ κενοδοξίας ἀπολιπεῖν τι σπουδάσας τοῖς μεθ᾽ ἡμᾶς, ἵνα μὴ μόνος ἄμοιρος ὦ τῆς ἐν τῷ μυθολογεῖν ἐλευθερίας, ἐπεὶ μηδὲν ἀληθὲς ἱστορεῖν εἶχον—οὐδὲν γὰρ ἐπεπόνθειν ἀξιόλογον—ἐπὶ τὸ ψεῦδος ἐτραπόμην πολὺ τῶν ἄλλων εὐγνωμονέστερον? κἂν ἓν γὰρ δὴ τοῦτο ἀληθεύσω λέγων ὅτι ψεύδομαι. οὕτω δ᾽ ἄν μοι δοκῶ καὶ τὴν παρὰ τῶν ἄλλων κατηγορίαν ἐκφυγεῖν αὐτὸς ὁμολογῶν μηδὲν ἀληθὲς λέγειν. γράφω τοίνυν περὶ ὧν μήτε εἶδον μήτε ἔπαθον μήτε παρ᾽ ἄλλων ἐπυθόμην, ἔτι δὲ μήτε ὅλως ὄντων μήτε τὴν ἀρχὴν γενέσθαι δυναμένων. διὸ δεῖ τοὺς ἐντυγχάνοντας μηδαμῶς πιστεύειν αὐτοῖς.

4 Pues bien, después de tomar contacto con todos esos autores, llegué a no reprocharles demasiado que engañen al público, al notar que ello es práctica habitual, incluso, entre los consagrados a la filosofía[5]. Me sorprendió en ellos, sin embargo, que creyeran escribir relatos inverosímiles sin quedar en evidencia. Por ello mi personal vanidad me impulsó a dejar algo a la posteridad, a fin de no ser el único privado de licencia para narrar historias; y, como nada verídico podía referir, por no haber vivido hecho alguno digno de mencionarse, me orienté a la ficción, pero mucho más honradamente que mis predecesores, pues al menos diré una verdad al confesar que miento. Y, así, creo librarme de la acusación del público al reconocer yo mismo que no digo ni una verdad. Escribo, por tanto, sobre cosas que jamás vi, traté o aprendí de otros, que no existen en absoluto ni por principio pueden existir. Por ello, mis lectores no deberán prestarles fe alguna.

[4] Cf. *Odisea* desde el canto IX.

[5] Parece un ataque a PLATÓN *(República* X 614a y ss.), según apunta el propio escoliasta.

[1,5] Ὁρμηθεὶς γάρ ποτε ἀπὸ Ἡρακλείων στηλῶν καὶ ἀφεὶς εἰς τὸν ἑσπέριον ὠκεανὸν οὐρίῳ ἀνέμῳ τὸν πλοῦν ἐποιούμην. αἰτία δέ μοι τῆς ἀποδημίας καὶ ὑπόθεσις ἡ τῆς διανοίας περιεργία καὶ πραγμάτων καινῶν ἐπιθυμία καὶ τὸ βούλεσθαι μαθεῖν τί τὸ τέλος ἐστὶν τοῦ ὠκεανοῦ καὶ τίνες οἱ πέραν κατοικοῦντες ἄνθρωποι. τούτου γέ τοι ἕνεκα πάμπολλα μὲν σιτία ἐνεβαλόμην, ἱκανὸν δὲ καὶ ὕδωρ ἐνεθέμην, πεντήκοντα δὲ τῶν ἡλικιωτῶν προσεποιησάμην τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχοντας, ἔτι δὲ καὶ ὅπλων πολύ τι πλῆθος παρεσκευασάμην καὶ κυβερνήτην τὸν ἄριστον μισθῷ μεγάλῳ πείσας παρέλαβον καὶ τὴν ναῦν—ἄκατος δὲ ἦν—ὡς πρὸς μέγαν καὶ βίαιον πλοῦν ἐκρατυνάμην

5 Inicié mi navegación un día desde las Columnas de Heracles, rumbo al Océano de Occidente, con viento favorable. El motivo y el propósito de mi viaje eran mi gran actividad intelectual, mi afán por los descubrimientos y el deseo de averiguar qué era el fin del Océano y qué pueblos vivían a la otra orilla. A este propósito preparé abundantes víveres, añadí también agua suficiente y enrolé a cincuenta compañeros de mi edad, que compartían mi proyecto; preparé también un buen número de armas, recluté al mejor piloto tras Convencerle con un gran sueldo, y reforcé mi embarcación —era una nave ligera— para tan larga y difícil travesía.

[1,6] ἡμέραν οὖν καὶ νύκτα οὐρίῳ πλέοντες ἔτι τῆς γῆς ὑποφαινομένης οὐ σφόδρα βιαίως ἀνηγόμεθα, τῆς ἐπιούσης δὲ ἅμα ἡλίῳ ἀνίσχοντι ὅ τε ἄνεμος ἐπεδίδου καὶ τὸ κῦμα ηὐξάνετο καὶ ζόφος ἐπεγίνετο καὶ οὐκέτ᾽ οὐδὲ στεῖλαι τὴν ὀθόνην δυνατὸν ἦν. ἐπιτρέψαντες οὖν τῷ πνέοντι καὶ παραδόντες ἑαυτοὺς ἐχειμαζόμεθα ἡμέρας ἐννέα καὶ ἑβδομήκοντα, τῇ ὀγδοηκοστῇ δὲ ἄφνω ἐκλάμψαντος ἡλίου καθορῶμεν οὐ πόρρω νῆσον ὑψηλὴν καὶ δασεῖαν, οὐ τραχεῖ περιηχουμένην τῷ κύματι? καὶ γὰρ ἤδη τὸ πολὺ τῆς ζάλης κατεπαύετο. Προσσχόντες οὖν καὶ ἀποβάντες ὡς ἂν ἐκ μακρᾶς ταλαιπωρίας πολὺν μὲν χρόνον ἐπὶ γῆς ἐκείμεθα, διαναστάντες δὲ ὅμως ἀπεκρίναμεν ἡμῶν αὐτῶν τριάκοντα μὲν φύλακας τῆς νεὼς παραμένειν, εἴκοσι δὲ σὺν ἐμοὶ ἀνελθεῖν ἐπὶ κατασκοπῇ τῶν ἐν τῇ νήσῳ.

6 Navegamos un día y una noche a favor del viento, sin avanzar demasiado, avistando aún tierra; pero al amanecer del segundo día el viento arreció, Creció el oleaje y sobrevino la oscuridad, sin que pudiéramos ni izar la vela. Nos confiamos, pues, y entregamos al vendaval, y sufrimos la borrasca durante setenta y nueve días; pero al octogésimo brilló el sol de repente y divisamos, no lejos de nosotros, una isla elevada y frondosa, en cuyo derredor resonaba un oleaje nada agitado, pues ya había amainado lo más duro de la tormenta[6].

Arribamos al fin y, tras desembarcar, como consecuencia de nuestra larga fatiga, yacimos en tierra durante mucho rato, pero al fin nos levantamos y designamos a treinta de nosotros para permanecer de guardia en la nave, y a veinte para penetrar conmigo a explorar el interior de la isla.

[1,7] προελθόντες δὲ ὅσον σταδίους τρεῖς ἀπὸ τῆς θαλάττης δι᾽ ὕλης ὁρῶμέν τινα στήλην χαλκοῦ πεποιημένην, Ἑλληνικοῖς γράμμασιν καταγεγραμμένην, ἀμυδροῖς δὲ καὶ ἐκτετριμμένοις, λέγουσαν Ἄχρι τούτων

7 Tras avanzar unos tres estadios desde el mar a través del bosque, descubrimos una estela de bronce, con una inscripción en caracteres griegos borrosos y gastados que decía: «Hasta aquí llegaron Heracles y Dioni-

[6] El pasaje parece un lugar común en los relatos fantásticos.

Ἡρακλῆς καὶ Διόνυσος ἀφίκοντο. ἦν δὲ καὶ ἴχνη δύο πλησίον ἐπὶ πέτρας, τὸ μὲν πλεθριαῖον, τὸ δὲ ἔλαττον —ἐμοὶ δοκεῖν, τὸ μὲν τοῦ Διονύσου, τὸ μικρότερον, θάτερον δὲ Ἡρακλέους. προσκυνήσαντες δ᾽ οὖν προῆμεν? οὔπω δὲ πολὺ παρῆμεν καὶ ἐφιστάμεθα ποταμῷ οἴνον ῥέοντι ὁμοιότατον μάλιστα οἷόσπερ ὁ Χῖός ἐστιν. ἄφθονον δὲ ἦν τὸ ῥεῦμα καὶ πολύ, ὥστε ἐνιαχοῦ καὶ ναυσίπορον εἶναι δύνασθαι. ἐπήει οὖν ἡμῖν πολὺ μᾶλλον πιστεύειν τῷ ἐπὶ τῆς στήλης ἐπιγράμματι, ὁρῶσι τὰ σημεῖα τῆς Διονύσου ἐπιδημίας. δόξαν δέ μοι καὶ ὅθεν ἄρχεται ὁ ποταμὸς καταμαθεῖν, ἀνήειν παρὰ τὸ ῥεῦμα, καὶ πηγὴν μὲν οὐδεμίαν εὗρον αὐτοῦ, πολλὰς δὲ καὶ μεγάλας ἀμπέλους, πλήρεις βοτρύων, παρὰ δὲ τὴν ῥίζαν ἑκάστην ἀπέρρει σταγὼν οἴνου διαυγοῦς, ἀφ᾽ ὧν ἐγίνετο ὁ ποταμός. ἦν δὲ καὶ ἰχθῦς ἐν αὐτῷ πολλοὺς ἰδεῖν, οἴνῳ μάλιστα καὶ τὴν χρόαν καὶ τὴν γεῦσιν προσεοικότας? ἡμεῖς γοῦν ἀγρεύσαντες αὐτῶν τινας καὶ ἐμφαγόντες ἐμεθύσθημεν? ἀμέλει καὶ ἀνατεμόντες αὐτοὺς εὑρίσκομεν τρυγὸς μεστούς. ὕστερον μέντοι ἐπινοήσαντες τοὺς ἄλλους ἰχθῦς, τοὺς ἀπὸ τοῦ ὕδατος παραμιγνύντες ἐκεράννυμεν τὸ σφοδρὸν τῆς οἰνοφαγίας.

so.» Había también dos huellas de pisadas cerca, en la roca, una de un pletro y otra menor, siendo —a mi parecer— la más pequeña de Dioniso y la otra de Heracles[7]. Tras venerarlas, proseguimos la marcha, y aún no nos habíamos distanciado mucho cuando llegamos al borde de un río de vino en todo semejante al Quiota[8]. La corriente era abundante y copiosa, de modo que en algunos lugares era navegable. Así nos sentimos mucho más inclinados a creer en la inscripción de la estela, al ver las pruebas de la visita de Dioniso. Decidí averiguar dónde nacía el río, y subí bordeando su corriente, mas no encontré fuente alguna, sino numerosas y grandes vides cargadas de racimos; de cada raíz fluía un hilo de vino claro, y de ellos surgía el río. Podían verse muchos peces en él, muy semejantes al vino en colorido y sabor; nosotros, a la sazón, capturamos algunos y al comerlos nos embriagamos; naturalmente, al abrirlos, los hallamos llenos de posos de vino. Más tarde se nos ocurrió mezclarlos con los otros peces, los de agua, y rebajamos la fuerza de aquel vino comestible.

[1,8] Τότε δὲ τὸν ποταμὸν διαπεράσαντες ᾗ διαβατὸς ἦν, εὕρομεν ἀμπέλων χρῆμα τεράστιον? τὸ μὲν γὰρ ἀπὸ τῆς γῆς, ὁ στέλεχος αὐτὸς εὐερνὴς καὶ παχύς, τὸ δὲ ἄνω γυναῖκες ἦσαν, ὅσον ἐκ τῶν λαγόνων ἅπαντα ἔχουσαι τέλεια—τοιαύτην παρ᾽ ἡμῖν τὴν Δάφνην γράφουσιν ἄρτι τοῦ Ἀπόλλωνος καταλαμβάνοντος ἀποδενδρουμένην. ἀπὸ δὲ τῶν δακτύλων ἄκρων ἐξεφύοντο αὐταῖς οἱ κλάδοι καὶ μεστοὶ ἦσαν βοτρύων. καὶ μὴν καὶ τὰς κεφαλὰς ἐκόμων ἕλιξί τε καὶ φύλλοις καὶ βότρυσι. προσελθόντας δὲ ἡμᾶς ἠσπάζοντο

8 Luego atravesamos el río por una zona vadeable y hallamos algo maravilloso en las vides: la parte que surgía de la tierra, la cepa propiamente dicha, era vigorosa y robusta, y en la parte superior eran mujeres, totalmente perfectas desde la cintura, de igual manera que nuestros pintores representan a Dafne convirtiéndose en árbol al sujetarla Apolo. De las puntas de sus dedos nacían sarmientos cargados de racimos; asimismo, eran su tocado zarcillos, pámpanos y racimos. Al acercarnos nosotros, nos acogieron con su bienvenida, hablando unas

[7] Cf. HERÓDOTO, IV 82. El pletro mide 29,6 m., y es la sexta parte del estadio.
[8] Cf. Ctesias (Foco, *Bibl.*, cod. LXXII 46 a).

καὶ ἐδεξιοῦντο, αἱ μὲν Λύδιον, αἱ δ᾽ Ἰνδικήν, αἱ πλεῖσται δὲ τὴν Ἑλλάδα φωνὴν προϊέμεναι. καὶ ἐφίλουν δὲ ἡμᾶς τοῖς στόμασιν? ὁ δὲ φιληθεὶς αὐτίκα ἐμέθυεν καὶ παράφορος ἦν. δρέπεσθαι μέντοι οὐ παρεῖχον τοῦ καρποῦ, ἀλλ᾽ ἤλγουν καὶ ἐβόων ἀποσπωμένου. αἱ δὲ καὶ μίγνυσθαι ἡμῖν ἐπεθύμουν? καὶ δύο τινὲς τῶν ἑταίρων πλησιάσαντες αὐταῖς οὐκέτι ἀπελύοντο, ἀλλ᾽ ἐκ τῶν αἰδοίων ἐδέδεντο? συνεφύοντο γὰρ καὶ συνερριζοῦντο. καὶ ἤδη αὐτοῖς κλάδοι ἐπεφύκεσαν οἱ δάκτυλοι, καὶ ταῖς ἕλιξι περιπλεκόμενοι ὅσον οὐδέπω καὶ αὐτοὶ καρποφορήσειν ἔμελλον.

en lidio, otras en indio, mas la mayoría lo hacían en griego, y nos besaban en los labios. El que recibía el beso quedaba al punto ebrio y vacilante. No permitían, sin embargo, que tomáramos de su fruto, sino que se dolían y lanzaban gritos cuando les era arrancado. Algunas deseaban unirse a nosotros, y dos de mis compañeros, que se llegaron a ellas, no pudieron separarse, sino que quedaron trabados por las partes pudendas, pues se fundieron y enraizaron juntos: ya antes habían brotado sarmientos de sus dedos y, trenzados de zarcillos, también ellos se disponían a producir frutos en un instante.

[1,9] καταλιπόντες δὲ αὐτοὺς ἐπὶ ναῦν ἐφεύγομεν καὶ τοῖς ἀπολειφθεῖσιν διηγούμεθα ἐλθόντες τά τε ἄλλα καὶ τῶν ἑταίρων τὴν ἀμπελομιξίαν. καὶ δὴ λαβόντες ἀμφορέας τινὰς καὶ ὑδρευσάμενοί τε ἅμα καὶ ἐκ τοῦ ποταμοῦ οἰνισάμενοι καὶ αὐτοῦ πλησίον ἐπὶ τῆς ἠόνος αὐλισάμενοι ἕωθεν ἀνήχθημεν οὐ σφόδρα βιαίῳ πνεύματι. Περὶ μεσημβρίαν δὲ οὐκέτι τῆς νήσου φαινομένης ἄφνω τυφὼν ἐπιγενόμενος καὶ περιδινήσας τὴν ναῦν καὶ μετεωρίσας ὅσον ἐπὶ σταδίους τριακοσίους οὐκέτι καθῆκεν εἰς τὸ πέλαγος, ἀλλ᾽ ἄνω μετέωρον ἐξηρτημένην ἄνεμος ἐμπεσὼν τοῖς ἱστίοις ἔφερεν κολπώσας τὴν ὀθόνην.

9 Dejándoles, huimos a la nave y contamos todo a los que allí habían quedado, y en especial la unión de los compañeros con las vides. Entonces tomamos unas ánforas y nos aprovisionamos a un tiempo de agua y vino del río; y acampamos cerca de allí, en el litoral, para zarpar a la aurora con viento no demasiado fuerte.
Hacia el mediodía, cuando ya no se divisaba la isla, sobrevino de repente un tifón que hizo girar la nave y, elevándola por el aire unos trescientos estadios, ya no la dejó descender al mar, sino que, hallándose en las alturas, sopló viento sobre su velamen y la arrastraba a vela hinchada.

[1,10] ἑπτὰ δὲ ἡμέρας καὶ τὰς ἴσας νύκτας ἀεροδρομήσαντες, ὀγδόῃ καθορῶμεν γῆν τινα μεγάλην ἐν τῷ ἀέρι καθάπερ νῆσον, λαμπρὰν καὶ σφαιροειδῆ καὶ φωτὶ μεγάλῳ καταλαμπομένην? προσενεχθέντες δὲ αὐτῇ καὶ ὁρμισάμενοι ἀπέβημεν, ἐπισκοποῦντες δὲ τὴν χώραν εὑρίσκομεν οἰκουμένην τε καὶ γεωργουμένην. ἡμέρας μὲν οὖν οὐδὲν αὐτόθεν ἐωρῶμεν, νυκτὸς δὲ ἐπιγενομένης ἐφαίνοντο ἡμῖν καὶ ἄλλαι πολλαὶ νῆσοι πλησίον, αἱ μὲν μείζους, αἱ δὲ μικρότεραι, πυρὶ τὴν χρόαν προσεοικυῖαι, καὶ ἄλλη δέ τις γῆ κάτω, καὶ πόλεις ἐν αὐτῇ καὶ

10 Por siete días y otras tantas noches viajamos por el aire, y al octavo divisamos un gran país en el aire, como una isla, luminoso, redondo y resplandeciente de luz en abundancia. Nos dirigimos a él y, tras anclar, desembarcamos, y observando descubrimos que la región se hallaba habitada y cultivada. Durante el día nada divisábamos desde allí, pero al hacerse de noche empezaron a aparecérsenos muchas otras islas próximas —unas mayores, otras más pequeñas— de color semejante al del fuego. Vimos también otro país abajo, con ciudades, ríos, mares,

ποταμοὺς ἔχουσα καὶ πελάγη καὶ ὕλας καὶ ὄρη. ταύτην οὖν τὴν καθ΄ ἡμᾶς οἰκουμένην εἰκάζομεν.

bosques y montañas, y dedujimos que era la Tierra.

[1,11] Δόξαν δὲ ἡμῖν καὶ ἔτι ποῤῥωτέρω προελθεῖν, συνελήφθημεν τοῖς Ἱππογύποις παρ΄ αὐτοῖς καλουμένοις ἀπαντήσαντες. οἱ δὲ Ἱππόγυποι οὗτοί εἰσιν ἄνδρες ἐπὶ γυπῶν μεγάλων ὀχούμενοι καὶ καθάπερ ἵπποις τοῖς ὀρνέοις χρώμενοι? μεγάλοι γὰρ οἱ γῦπες καὶ ὡς ἐπίπαν τρικέφαλοι. μάθοι δ΄ ἄν τις τὸ μέγεθος αὐτῶν ἐντεῦθεν? νεὼς γὰρ μεγάλης φορτίδος ἱστοῦ ἕκαστον τῶν πτερῶν μακρότερον καὶ παχύτερον φέρουσι. τούτοις οὖν τοῖς Ἱππογύποις προστέτακται περιπετομένοις τὴν γῆν, εἴ τις εὑρεθείη ξένος, ἀνάγειν ὡς τὸν βασιλέα? καὶ δὴ καὶ ἡμᾶς συλλαβόντες ἀνάγουσιν ὡς αὐτόν. ὁ δὲ θεασάμενος καὶ ἀπὸ τῆς στολῆς εἰκάσας, Ἕλληνες ἄρα, ἔφη, ὑμεῖς, ὦ ξένοι; συμφησάντων δέ, Πῶς οὖν ἀφίκεσθε, ἔφη, τοσοῦτον ἀέρα διελθόντες; καὶ ἡμεῖς τὸ πᾶν αὐτῷ διηγούμεθα? καὶ ὃς ἀρξάμενος τὸ καθ΄ αὑτὸν ἡμῖν διεξῆει, ὡς καὶ αὐτὸς ἄνθρωπος ὢν τοὔνομα Ἐνδυμίων ἀπὸ τῆς ἡμετέρας γῆς καθεύδων ἀναρπασθείη ποτὲ καὶ ἀφικόμενος βασιλεύσειε τῆς χώρας? εἶναι δὲ τὴν γῆν ἐκείνην ἔλεγε τὴν ἡμῖν κάτω φαινομένην σελήνην. ἀλλὰ θαρρεῖν τε παρεκελεύετο καὶ μηδένα κίνδυνον ὑφορᾶσθαι? πάντα γὰρ ἡμῖν παρέσεσθαι ὧν δεόμεθα.

11 Decidimos seguir avanzando, pero fuimos detenidos al encontrar a los que ellos llaman «cabalgabuitres»[9]. Los cabalgabuitres son hombres que cabalgan sobre buitres enormes, y utilizan dichas aves como caballos. Los buitres son enormes y suelen tener tres cabezas; puede inferirse su tamaño del hecho siguiente: cualquiera de sus plumas es mayor y más robusta que el mástil de un gran navío mercante[10]. Dichos cabalgabuitres tienen como misión sobrevolar el país y conducir ante el rey a cualquier extranjero que encuentren; por ello, nos detuvieron y condujeron ante él. Éste, después de observarnos y deducirlo de nuestros vestidos, dijo: «Vosotros sois griegos, ¿verdad, extranjeros?» Al confirmárselo nosotros, preguntó: «¿Y cómo habéis llegado hasta aquí, tras atravesar un gran trecho por el aire?» Nosotros le explicamos todo. Entonces comenzó él a contarnos su propia historia: era también un ser humano, llamado Endimión, que había sido raptado de nuestro país mientras dormía y, una vez allí, llegó a ser rey del territorio. Decía que aquel país era la Luna que vemos desde abajo[11]. Nos exhortó a confiar y no temer peligro alguno, ofreciéndonos cuanto necesitáramos.

[1,12] Ἦν δὲ καὶ κατορθώσω, ἔφη, τὸν πόλεμον ὃν ἐκφέρω νῦν πρὸς τοὺς τὸν ἥλιον κατοικοῦντας, ἁπάντων εὐδαιμονέστατα παρ΄ ἐμοὶ καταβιώσεσθε. καὶ ἡμεῖς ἠρόμεθα τίνες εἶεν οἱ πολέμιοι καὶ τὴν αἰτίαν τῆς διαφορᾶς? Ὁ δὲ Φαέθων, φησίν, ὁ τῶν ἐν τῷ ἡλίῳ κατοικούντων βασιλεύς— οἰκεῖται γὰρ

12 «Si triunfo —añadió— en la guerra que ahora mantengo contra los habitantes del Sol, viviréis muy felices a mi lado». Nosotros le preguntamos quiénes eran los enemigos y la causa del conflicto. «Faetonte —contestó--, el rey de los habitantes del Sol (pues aquél también está habitado, como la Luna), desde

[9] Griego *Hippógypoi.* En pro de la intelección y expresividad, optamos por traducir estos nombres de seres fantásticos en lugar de transcribirlos. (Cf. MANUEL F, GALIANO, *La transcripción...,* página 6, párrafo 2.)

[10] Cf. *Odisea* IX 322 ss.11

[11] Antonio Diógenes parece ser la fuente de inspiración (Focio, lila). Cf. el *Icaromenipo* de Luciano.

δὴ κἀκεῖνος ὥσπερ καὶ ἡ σελήνη—πολὺν ἤδη πρὸς ἡμᾶς πολεμεῖ χρόνον. ἤρξατο δὲ ἐξ αἰτίας τοιαύτης? τῶν ἐν τῇ ἀρχῇ τῇ ἐμῇ ποτε τοὺς ἀπορωτάτους συναγαγὼν ἐβουλήθην ἀποικίαν ἐς τὸν Ἑωσφόρον στεῖλαι, ὄντα ἔρημον καὶ ὑπὸ μηδενὸς κατοικούμενον? ὁ τοίνυν Φαέθων φθονήσας ἐκώλυσε τὴν ἀποικίαν κατὰ μέσον τὸν πόρον ἀπαντήσας ἐπὶ τῶν Ἱππομυρμήκων. τότε μὲν οὖν νικηθέντες—οὐ γὰρ ἦμεν ἀντίπαλοι τῇ παρασκευῇ— ἀνεχωρήσαμεν? νῦν δὲ βούλομαι αὖθις ἐξενεγκεῖν τὸν πόλεμον καὶ ἀποστεῖλαι τὴν ἀποικίαν. ἢν οὖν ἐθέλητε, κοινωνήσατέ μοι τοῦ στόλου, γῦπας δὲ ὑμῖν ἐγὼ παρέξω τῶν βασιλικῶν ἕνα ἑκάστῳ καὶ τὴν ἄλλην ὅπλισιν? αὔριον δὲ ποιησόμεθα τὴν ἔξοδον. Οὕτως, ἔφην ἐγώ, γιγνέσθω, ἐπειδή σοι δοκεῖ.

mucho tiempo atrás nos hace la guerra. Comenzó por el siguiente motivo. En cierta ocasión reuní a los más pobres de mi reino, con el proyecto de establecer una colonia en la Estrella de la Mañana[12], que se hallaba desierta e inhabitada. Celoso Faetonte, impidió la colonización, saliendo al paso a medio camino al frente de sus cabalgahormigas[13]. Entonces fuimos vencidos (pues no estábamos a su altura en preparación) y nos retiramos; pero ahora deseo reanudar la guerra y fundar la colonia. Si lo deseáis, podéis participar conmigo en la expedición, y os proporcionaré a cada uno de vosotros un buitre real y el armamento necesario. Mañana partiremos». «De acuerdo —dije yo—, puesto que es tu designio.»

[1,13] Τότε μὲν οὖν παρ᾽ αὐτῷ ἑστιαθέντες ἐμείναμεν, ἕωθεν δὲ διαναστάντες ἐτασσόμεθα? καὶ γὰρ οἱ σκοποὶ ἐσήμαινον πλησίον εἶναι τοὺς πολεμίους. τὸ μὲν οὖν πλῆθος τῆς στρατιᾶς δέκα μυριάδες ἐγένοντο ἄνευ τῶν σκευοφόρων καὶ τῶν μηχανοποιῶν καὶ τῶν πεζῶν καὶ τῶν ξένων συμμάχων? τούτων δὲ ὀκτακισμύριοι μὲν ἦσαν οἱ Ἱππόγυποι, δισμύριοι δὲ οἱ ἐπὶ τῶν Λαχανοπτέρων. ὄρνεον δὲ καὶ τοῦτό ἐστι μέγιστον, ἀντὶ τῶν πτερῶν λαχάνοις πάντῃ λάσιον, τὰ δὲ ὠκύπτερα ἔχει θριδακίνης φύλλοις μάλιστα προσεοικότα. ἐπὶ δὲ τούτοις οἱ Κεγχροβόλοι τετάχατο καὶ οἱ Σκοροδομάχοι. ἦλθον δὲ αὐτῷ καὶ ἀπὸ τῆς ἄρκτου σύμμαχοι, τρισμύριοι μὲν Ψυλλοτοξόται, πεντακισμύριοι δὲ Ἀνεμοδρόμοι? τούτων δὲ οἱ μὲν

13 Desde entonces permanecimos con él en calidad de huéspedes, y con la aurora nos levantamos a ocupar nuestros puestos, pues los atalayas señalaban que el enemigo estaba cerca. Integraban nuestro ejército cien mil soldados, sin contar los porteadores, los ingenieros, la infantería y los aliados extranjeros. De ellos, ochenta mil eran cabalgabuitres, y veinte mil, jinetes sobre plumaverdes[14] —se trata también de un ave descomunal, que, en vez de plumas, está cubierta enteramente de hortalizas, y sus alas son en extremo semejantes a las hojas de lechuga—. A continuación estaban alineados los lanzamijos[15] y los ajoguerreros[16]. Habían venido también aliados del rey de la Osa Mayor[17], treinta mil pulgarqueros[18] y cincuenta mil voladores[19]. De éstos, los

[12] Griego *Heōsphóros,* literalmente «Portadora de la aurora».
[13] Griego *Hippomyrmēkes.* El término está atestiguado en ARISTÓTELES *(Historia de los animales* VIII 28).
[14] Griego *Lachanópteroi* = «Alas de lechuga».
[15] Griego *Kenchrobóloi.*
[16] Griego *Skorodomáchoi* = «Luchadores con ajos».
[17] Griego *Árktos.*
[18] Griego *Psyllotoxótai.*
[19] Griego *Anemodrómoi* = «Corredores por el aire».

Ψυλλοτοξόται ἐπὶ ψυλλῶν μεγάλων ἱππάζονται, ὅθεν καὶ τὴν προσηγορίαν ἔχουσιν? μέγεθος δὲ τῶν ψυλλῶν ὅσον δώδεκα ἐλέφαντες? οἱ δὲ Ἀνεμοδρόμοι πεζοὶ μέν εἰσιν, φέρονται δὲ ἐν τῷ ἀέρι ἄνευ πτερῶν? ὁ δὲ τρόπος τῆς φορᾶς τοιόσδε. χιτῶνας ποδήρεις ὑπεζωσμένοι κολπώσαντες αὐτοὺς τῷ ἀνέμῳ καθάπερ ἱστία φέρονται ὥσπερ τὰ σκάφη. τὰ πολλὰ δ΄ οἱ τοιοῦτοι ἐν ταῖς μάχαις πελτασταί εἰσιν. ἐλέγοντο δὲ καὶ ἀπὸ τῶν ὑπὲρ τὴν Καππαδοκίαν ἀστέρων ἥξειν Στρουθοβάλανοι μὲν ἑπτακισμύριοι, Ἱππογέρανοι δὲ πεντακισχίλιοι. τούτους ἐγὼ οὐκ ἐθεασάμην? οὐ γὰρ ἀφίκοντο. διόπερ οὐδὲ γράψαι τὰς φύσεις αὐτῶν ἐτόλμησα? τεράστια γὰρ καὶ ἄπιστα περὶ αὐτῶν ἐλέγετο.

pulgarqueros cabalgan sobre pulgas enormes, de las que reciben el nombre; el tamaño de dichas pulgas equivale al de doce elefantes. Los voladores son de infantería, pero se deslizan por el aire sin alas, y su técnica de deslizamiento es la siguiente: remangan sus túnicas talares, inclinándolas al viento como velas, y se deslizan al igual que las embarcaciones. Por lo general, ellos intervienen en las batallas como peltastas. Se decía que iban a llegar también, de las estrellas de sobre Capadocia, setenta mil gorrionbellotas[20] y cinco mil cabalgagrullas[21]. A ésos no los vi, por lo que no me he atrevido a escribir sobre sus características, ya que se contaban de ellos portentos increíbles[22].

[1,14] Αὕτη μὲν ἡ τοῦ Ἐνδυμίωνος δύναμις ἦν. σκευὴ δὲ πάντων ἡ αὐτή? κράνη μὲν ἀπὸ τῶν κυάμων, μεγάλοι γὰρ παρ΄ αὐτοῖς οἱ κύαμοι καὶ καρτεροί? θώρακες δὲ φολιδωτοὶ πάντες θέρμινοι? τὰ γὰρ λέπη τῶν θέρμων συρράπτοντες ποιοῦνται θώρακας, ἄρρηκτον δὲ ἐκεῖ γίνεται τοῦ θέρμου τὸ λέπος ὥσπερ κέρας.

14 Éstas eran las fuerzas de Endimión. Todos tenían el mismo armamento: cascos de habas —sus habas son grandes y resistentes— y corazas de altramuces, todos cubiertos de escamas —cosiendo las cortezas de los altramuces fabrican corazas, pues allí la corteza del altramuz es irrompible, como el cuerno.

[1,15] ἀσπίδες δὲ καὶ ξίφη οἷα τὰ Ἑλληνικά. ἐπειδὴ δὲ καιρὸς ἦν, ἐτάξαντο ὧδε? τὸ μὲν δεξιὸν κέρας εἶχον οἱ Ἱππόγυποι καὶ ὁ βασιλεὺς τοὺς ἀρίστους περὶ αὑτὸν ἔχων? καὶ ἡμεῖς ἐν τούτοις ἦμεν? τὸ δὲ εὐώνυμον οἱ Λαχανόπτεροι? τὸ μέσον δὲ οἱ σύμμαχοι ὡς ἑκάστοις ἐδόκει. τὸ δὲ πεζὸν ἦσαν μὲν ἀμφὶ τὰς ἑξακισχιλίας μυριάδας, ἐτάχθησαν δὲ οὕτως. ἀράχναι παρ΄ αὐτοῖς πολλοὶ καὶ μεγάλοι γίγνονται, πολὺ τῶν Κυκλάδων νήσων ἕκαστος μείζων. τούτοις προσέταξεν διυφῆναι τὸν μεταξὺ τῆς σελήνης καὶ τοῦ Ἑωσφόρου ἀέρα. ὡς δὲ τάχιστα

15 Los escudos y espadas eran como los griegos. Llegado el momento, se alinearon así. El ala derecha la ocupaban los cabalgabuitres y el rey, con los mejores guerreros a su alrededor —nosotros estábamos entre ellos—; a la izquierda estaban los plumaverdes; en el centro, los aliados, como cada uno quería. La infantería se elevaba a alrededor de los sesenta millones, y fueron alineados del modo siguiente. Las arañas en esa tierra son abundantes y enormes, y cualquiera de ellas es mucho mayor que las islas Cíclades. El rey

[20] Griego *Strouthobálanoi.*
[21] Griego *Hippogéranoi.*
[22] Tópico presente en HERÓDOTO (I 193, etc.), TUCÍDIDES (III 113) y otros historiadores.

ἐξειργάσαντο καὶ πεδίον ἐποίησαν, ἐπὶ τούτου παρέταξε τὸ πεζόν? ἡγεῖτο δὲ αὐτῶν Νυκτερίων ὁ Εὐδιάνακτος τρίτος αὐτός.

ordenó tejer el espacio que media entre la Luna y la Estrella de la Mañana. Tan pronto como terminaron y dejaron construida una llanura, alineó en ésta a la infantería, a las órdenes de Nocturno[23], hijo de Sereno[24], y otros dos jefes.

[1,16] Τῶν δὲ πολεμίων τὸ μὲν εὐώνυμον εἶχον οἱ Ἱππομύρμηκες καὶ ἐν αὐτοῖς ὁ Φαέθων? θηρία δέ ἐστι μέγιστα, ὑπόπτερα, τοῖς παρ΄ ἡμῖν μύρμηξι προσεοικότα πλὴν τοῦ μεγέθους? ὁ γὰρ μέγιστος αὐτῶν καὶ δίπλεθρος ἦν. ἐμάχοντο δὲ οὐ μόνον οἱ ἐπ΄ αὐτῶν, ἀλλὰ καὶ αὐτοὶ μάλιστα τοῖς κέρασιν? ἐλέγοντο δὲ οὗτοι εἶναι ἀμφὶ τὰς πέντε μυριάδας. ἐπὶ δὲ τοῦ δεξιοῦ αὐτῶν ἐτάχθησαν οἱ Ἀεροκώνωπες, ὄντες καὶ οὗτοι ἀμφὶ τὰς πέντε μυριάδας, πάντες τοξόται κώνωψι μεγάλοις ἐποχούμενοι? μετὰ δὲ τούτους οἱ Ἀεροκόρδακες, ψιλοί τε ὄντες καὶ πεζοί, πλὴν μάχιμοί γε καὶ οὗτοι? πόρρωθεν γὰρ ἐσφενδόνων ῥαφανῖδας ὑπερμεγέθεις, καὶ ὁ βληθεὶς οὐδὲ ὀλίγον ἀντέχειν ἐδύνατο, ἀπέθνησκε δὲ δυσωδίας τινὸς τῷ τραύματι ἐγγινομένης? ἐλέγοντο δὲ χρίειν τὰ βέλη μαλάχης ἰῷ. ἐχόμενοι δὲ αὐτῶν ἐτάχθησαν οἱ Καυλομύκητες, ὁπλῖται ὄντες καὶ ἀγχέμαχοι, τὸ πλῆθος μύριοι? ἐκλήθησαν δὲ Καυλομύκητες, ὅτι ἀσπίσι μὲν μυκητίναις ἐχρῶντο, δόρασι δὲ καυλίνοις τοῖς ἀπὸ τῶν ἀσπαράγων. πλησίον δὲ αὐτῶν οἱ Κυνοβάλανοι ἔστησαν, οὓς ἔπεμψαν αὐτῷ οἱ τὸν Σείριον κατοικοῦντες, πεντακισχίλιοι καὶ οὗτοι ἄνδρες κυνοπρόσωποι ἐπὶ βαλάνων πτερωτῶν μαχόμενοι. ἐλέγοντο δὲ κἀκείνῳ ὑστερίζειν τῶν συμμάχων οὕς τε

16 En cuanto al enemigo, estaban a la izquierda los cabalgahormigas, y entre ellos Faetonte. Son animales muy grandes, alados, semejantes a pletros[25]. Combatían no sólo sus jinetes, sino ellos mismos, en especial con sus antenas. Se decía que eran unos cincuenta mil. A su derecha se alinearon los aeromosquitos[26], también alrededor de cincuenta mil, todos ellos arqueros sobre grandes mosquitos; les seguían los aerodanzarines[27], infantería ligera, pero igualmente eficaz en la lucha, pues a larga distancia disparaban a honda rábanos gigantes, y quien resultaba alcanzado no podía resistir un momento, pues fallecía, y su herida desprendía mal olor —se decía que untaban sus proyectiles de veneno de malva—. A continuación de ellos se alinearon los tallohongos[28], hoplitas, en número de diez mil. Fueron llamados tallo-hongos porque usaban las setas como escudos, y tallos de espárragos como lanzas. Junto a ellos se situaron los perrobellotas[29], enviados por los habitantes de Sirio, cinco mil hombres con rostro de perro, que combaten sobre bellotas aladas. Se decía que también para Faetonte llegaban con retraso, de entre sus aliados, los honderos de la Vía Láctea[30] y los nublocentauros[31]; estos últimos

[23] Griego Nykteríon.
[24] Griego *Eudiánax* = «Soberano del tiempo sereno».
[25] Cf. nota 7. ¿Parodia de HERÓDOTO, III 102?
[26] Griego *Aerokonopes.*
[27] Griego *Aerokórdakes.* El *kórdax era* una danza procaz de origen lidio.
[28] Griego *Kaulomýketes.29*
[29] Griego *Kynobálanoi.* HERÓDOTO (IV 191) cita a un pueblo de hombres cuya cabeza tiene la forma de la del perro.
[30] Griego *galaxias* (sc. *kýklos).* Preferimos la expresión latina más difundida a traducir «Círculo lácteo», si bien

ἀπὸ τοῦ Γαλαξίου μετεπέμπετο σφενδονήτας καὶ οἱ Νεφελοκένταυροι. ἀλλ᾽ ἐκεῖνοι μὲν τῆς μάχης ἤδη κεκριμένης ἀφίκοντο, ὡς μήποτε ὤφελον? οἱ σφενδονῆται δὲ οὐδὲ ὅλως παρεγένοντο, διόπερ φασὶν ὕστερον αὐτοῖς ὀργισθέντα τὸν Φαέθοντα πυρπολῆσαι τὴν χώραν.

llegaron cuando la batalla estaba ya decidida (¡ojalá no lo hubieran hecho!), pero los honderos ni siquiera hicieron acto de presencia, por lo que dicen que más tarde Faetonte, encolerizado, arrasó a fuego su territorio.

[1,17] Τοιαύτῃ μὲν καὶ ὁ Φαέθων ἐπήει παρασκευῇ. συμμίξαντες δὲ ἐπειδὴ τὰ σημεῖα ἤρθη καὶ ὠγκήσαντο ἑκατέρων οἱ ὄνοι—τούτοις γὰρ ἀντὶ σαλπιστῶν χρῶνται—ἐμάχοντο. καὶ τὸ μὲν εὐώνυμον τῶν Ἡλιωτῶν αὐτίκα ἔφυγε οὐδ᾽ εἰς χεῖρας δεξάμενον τοὺς Ἱππογύπους, καὶ ἡμεῖς εἰπόμεθα κτείνοντες? τὸ δεξιὸν δὲ αὐτῶν ἐκράτει τοῦ ἐπὶ τῷ ἡμετέρῳ εὐωνύμου, καὶ ἐπεξῆλθον οἱ Ἀεροκώνωπες διώκοντες ἄχρι πρὸς τοὺς πεζούς. ἐνταῦθα δὲ κἀκείνων ἐπιβοηθούντων ἔφυγον ἐγκλίναντες, καὶ μάλιστα ἐπεὶ ἤσθοντο τοὺς ἐπὶ τῷ εὐωνύμῳ σφῶν νενικημένους. τῆς δὲ τροπῆς λαμπρᾶς γεγενημένης πολλοὶ μὲν ζῶντες ἡλίσκοντο, πολλοὶ δὲ καὶ ἀνῃροῦντο, καὶ τὸ αἷμα ἔρρει πολὺ μὲν ἐπὶ τῶν νεφῶν, ὥστε αὐτὰ βάπτεσθαι καὶ ἐρυθρὰ φαίνεσθαι, οἷα παρ᾽ ἡμῖν δυομένου τοῦ ἡλίου φαίνεται, πολὺ δὲ καὶ εἰς τὴν γῆν κατέσταζεν, ὥστε με εἰκάζειν μὴ ἄρα τοιούτου τινὸς καὶ πάλαι ἄνω γενομένου Ὅμηρος ὑπέλαβεν αἵματι ὗσαι τὸν Δία ἐπὶ τῷ τοῦ Σαρπηδόνος θανάτῳ.

17 Con estas fuerzas avanzaba Faetonte. Trabando combate, una vez que se dio la señal y rebuznaron los asnos respectivos —pues los usan a guisa de trompeteros—, luchaban. El ala izquierda de los heliotas huyó al punto, sin afrontar siquiera el ataque de los cabalgabuitres, y nosotros les perseguíamos, abatiéndolos. Pero su ala derecha vencía a nuestra izquierda, y los aeromosquitos se lanzaron hasta encontrarse con nuestra infantería. Mas cuando ésta salió en su defensa huyeron en desbandada, sobre todo cuando advirtieron que los suyos del flanco izquierdo habían sido vencidos. Se alcanzó una brillante victoria: muchos fueron apresados vivos, y muchos abatidos; la sangre fluía abundante por las nubes, hasta teñirse de color rojo, como en nuestras puestas de sol; abundante también se derramó sobre la tierra, de manera que yo supongo que algo semejante debió de ocurrir antaño en las alturas, cuando Homero creyó que Zeus había hecho llorar sangre por la muerte de Sarpedón[32].

[1,18] Ἀναστρέψαντες δὲ ἀπὸ τῆς διώξεως δύο τρόπαια ἐστήσαμεν, τὸ μὲν ἐπὶ τῶν ἀραχνίων τῆς πεζομαχίας, τὸ δὲ τῆς ἀερομαχίας ἐπὶ τῶν νεφῶν. ἄρτι δὲ τούτων γινομένων ἠγγέλλοντο ὑπὸ τῶν σκοπῶν οἱ Νεφελοκένταυροι προσελαύνοντες, οὓς ἔδει πρὸ τῆς μάχης ἐλθεῖν τῷ Φαέθοντι. καὶ δὴ ἐφαίνοντο προσιόντες, θέαμα

18 Cuando regresamos de la persecución, elevamos dos trofeos, uno sobre las telarañas, por el combate de la infantería, y el otro, por el combate aéreo, sobre las nubes. Precisamente, mientras los elevábamos, anunciaron los atalayas el avance de los nublocentauros, que debían haber venido antes de la batalla en ayuda de Faetonte. Ya

---

esta última aparece atestiguada, p. ej., en CICERÓN, *Sueño de Escipión* 3.

[31] Griego *Nephelokéntauroi.*

[32] *Ilíada* XVI 459.

παραδοξότατον, ἐξ ἵππων πτερωτῶν καὶ ἀνθρώπων συγκείμενοι? μέγεθος δὲ τῶν μὲν ἀνθρώπων ὅσον τοῦ Ῥοδίων κολοσσοῦ ἐξ ἡμισείας ἐς τὸ ἄνω, τῶν δὲ ἵππων ὅσον νεὼς μεγάλης φορτίδος. τὸ μέντοι πλῆθος αὐτῶν οὐκ ἀνέγραψα, μή τῳ καὶ ἄπιστον δόξῃ— τοσοῦτον ἦν. ἡγεῖτο δὲ αὐτῶν ὁ ἐκ τοῦ ζῳδιακοῦ τοξότης. ἐπεὶ δὲ ἤσθοντο τοὺς φίλους νενικημένους, ἐπὶ μὲν τὸν Φαέθοντα ἔπεμπον ἀγγελίαν αὖθις ἐπιέναι, αὐτοὶ δὲ διαταξάμενοι τεταραγμένοις ἐπιπίπτουσι τοῖς Σεληνίταις, ἀτάκτως περὶ τὴν δίωξιν καὶ τὰ λάφυρα διεσκεδασμένοις? καὶ πάντας μὲν τρέπουσιν, αὐτὸν δὲ τὸν βασιλέα καταδιώκουσι πρὸς τὴν πόλιν καὶ τὰ πλεῖστα τῶν ὀρνέων αὐτοῦ κτείνουσιν? ἀνέσπασαν δὲ καὶ τὰ τρόπαια καὶ κατέδραμον ἅπαν τὸ ὑπὸ τῶν ἀραχνῶν πεδίον ὑφασμένον, ἐμὲ δὲ καὶ δύο τινὰς τῶν ἑταίρων ἐζώγρησαν. ἤδη δὲ παρῆν καὶ ὁ Φαέθων καὶ αὖθις ἄλλα τρόπαια ὑπ΄ ἐκείνων ἵστατο. Ἡμεῖς μὲν οὖν ἀπηγόμεθα ἐς τὸν ἥλιον αὐθημερὸν τὼ χεῖρε ὀπίσω δεθέντες ἀραχνίου ἀποκόμματι.

se divisaban aproximándose; eran el espectáculo más insólito, una combinación de caballos alados y hombres. El tamaño de los hombres era el del Coloso de Rodas[33] de medio cuerpo arriba, y el de los caballos el de un gran navío mercante. Su número, sin embargo, no lo he mencionado, no sea que parezca absurdo a alguien, tan grande era. Los mandaba el Arquero del Zodíaco[34]. Cuando vieron que sus amigos habían sido derrotados, enviaron una embajada a Faetonte para que atacara de nuevo, y ellos se lanzaron en formación sobre los desordenados selenitas[35], dispersos por entregarse a la persecución y al saqueo. Pusieron a todos en fuga, persiguieron al propio rey hasta la ciudad y dieron muerte a casi todas sus aves; derribaron también los trofeos, recorrieron toda la llanura tejida por las arañas y me apresaron, con dos de mis compañeros. Entonces apareció también Faetonte y, a su vez, ellos levantaron otros trofeos.
En cuanto a nosotros, fuimos conducidos al Sol maniatados a la espalda con un cabo aquel mismo día, de telaraña.

[1,19] οἱ δὲ πολιορκεῖν μὲν οὐκ ἔγνωσαν τὴν πόλιν, ἀναστρέψαντες δὲ τὸ μεταξὺ τοῦ ἀέρος ἀπετείχιζον, ὥστε μηκέτι τὰς αὐγὰς ἀπὸ τοῦ ἡλίου πρὸς τὴν σελήνην διήκειν. τὸ δὲ τεῖχος ἦν διπλοῦν, νεφελωτόν? ὥστε σαφὴς ἔκλειψις τῆς σελήνης ἐγεγόνει καὶ νυκτὶ διηνεκεῖ πᾶσα κατείχετο. πιεζόμενος δὲ τούτοις ὁ Ἐνδυμίων πέμψας ἱκέτευε καθαιρεῖν τὸ οἰκοδόμημα καὶ μὴ σφᾶς περιορᾶν ἐν σκότῳ βιοτεύοντας, ὑπισχνεῖτο δὲ καὶ φόρους τελέσειν καὶ σύμμαχος ἔσεσθαι καὶ μηκέτι πολεμήσειν, καὶ ὁμήρους ἐπὶ τούτοις δοῦναι ἤθελεν. οἱ δὲ περὶ τὸν

19 Los heliotas[36] decidieron no sitiar la ciudad, sino que, al retirarse, edificaron un muro en medio del aire, de forma que los rayos del Sol no llegaran a la Luna. El muro era doble, hecho de nubes, con lo que se produjo un auténtico eclipse de Luna, y ésta quedó sumida totalmente en una noche perpetua. Presionado por este hecho, Endimión envió una embajada y suplicó que derribaran la construcción, y no les relegaran a vivir en la oscuridad. Prometía a cambio pagar tributos, hacerse aliado y no volver a luchar, y se ofrecía a darles rehenes en

[33] Se refiere a la famosa estatua helenística de enormes dimensiones (290-280 a. C.), obra de Cares, situada en el puerto de Rodas.
[34] Griego *ho ek toû zoidiakou toxótēs.* Personificación de la constelación.
[35] Habitantes de la Luna, *Selēnē* en griego.
[36] Habitantes del Sol, *Hēlios* en griego.

Φαέθοντα γενομένης δὶς ἐκκλησίας τῇ προτεραίᾳ μὲν οὐδὲν παρέλυσαν τῆς ὀργῆς, τῇ ὑστεραίᾳ δὲ μετέγνωσαν, καὶ ἐγένετο ἡ εἰρήνη ἐπὶ τούτοις.

garantía. Faetonte y los suyos celebraron dos asambleas: el primer día no cedieron en su cólera, pero al siguiente reconsideraron el asunto y se estableció la paz en los siguientes términos.

[1,20] Κατὰ τάδε συνθήκας ἐποιήσαντο Ἡλιῶται καὶ οἱ σύμμαχοι πρὸς Σεληνίτας καὶ τοὺς συμμάχους, ἐπὶ τῷ καταλῦσαι μὲν Ἡλιώτας τὸ διατείχισμα καὶ μηκέτι ἐς τὴν σελήνην ἐσβάλλειν, ἀποδοῦναι δὲ καὶ τοὺς αἰχμαλώτους ῥητοῦ ἕκαστον χρήματος, τοὺς δὲ Σεληνίτας ἀφεῖναι μὲν αὐτονόμους τούς γε ἄλλους ἀστέρας, ὅπλα δὲ μὴ ἐπιφέρειν τοῖς Ἡλιώταις, συμμαχεῖν δὲ τῇ ἀλλήλων, ἤν τις ἐπίῃ? φόρον δὲ ὑποτελεῖν ἑκάστου ἔτους τὸν βασιλέα τῶν Σεληνιτῶν τῷ βασιλεῖ τῶν Ἡλιωτῶν δρόσου ἀμφορέας μυρίους, καὶ ὁμήρους δὲ σφῶν αὐτῶν δοῦναι μυρίους, τὴν δὲ ἀποικίαν τὴν ἐς τὸν Ἑωσφόρον κοινῇ ποιεῖσθαι, καὶ μετέχειν τῶν ἄλλων τὸν βουλόμενον? ἐγγράψαι δὲ τὰς συνθήκας στήλῃ ἠλεκτρίνῃ καὶ ἀναστῆσαι ἐν μέσῳ τῷ ἀέρι ἐπὶ τοῖς μεθορίοις. ὤμοσαν δὲ Ἡλιωτῶν μὲν Πυρωνίδης καὶ Θερείτης καὶ Φλόγιος, Σεληνιτῶν δὲ Νύκτωρ καὶ Μήνιος καὶ Πολυλάμπης.

20 «Sobre estas bases establecieron un tratado de paz los heliotas y sus aliados con los selenitas y sus aliados. Los heliotas demolerán la muralla y no volverán a invadir la Luna; y devolverán, asimismo, los prisioneros por el precio convenido para cada uno. Los selenitas, por su parte, respetarán la autonomía de los demás astros, y no dirigirán sus armas contra los heliotas; ambos pueblos se prestarán ayuda, en caso de ser atacados; como tributo anual, pagará el rey de los selenitas al rey de los heliotas diez mil ánforas de rocío, y le dará diez mil rehenes; la colonización de la Estrella de la Mañana se hará mancomunadamente, y participará cualquier otro pueblo que lo desee; se grabará el tratado en una estela de ámbar y se establecerá en medio del aire, en la línea fronteriza. Juraron, por los heliotas, Fogoso, Estival y Llameante; por los selenitas, Nocturno, Mensual y Muchobrillo»[37].

[1,21] Τοιαύτη μὲν ἡ εἰρήνη ἐγένετο? εὐθὺς δὲ τὸ τεῖχος καθῃρεῖτο καὶ ἡμᾶς τοὺς αἰχμαλώτους ἀπέδοσαν. ἐπεὶ δὲ ἀφικόμεθα ἐς τὴν σελήνην, ὑπηντίαζον ἡμᾶς καὶ ἠσπάζοντο μετὰ δακρύων οἵ τε ἑταῖροι καὶ ὁ Ἐνδυμίων αὐτός. καὶ ὁ μὲν ἠξίου μεῖναί τε παρ΄ αὑτῷ καὶ κοινωνεῖν τῆς ἀποικίας, ὑπισχνούμενος δώσειν πρὸς γάμον τὸν ἑαυτοῦ παῖδα? γυναῖκες γὰρ οὐκ εἰσὶ παρ΄ αὐτοῖς. ἐγὼ δὲ οὐδαμῶς ἐπειθόμην, ἀλλ΄ ἠξίουν ἀποπεμφθῆναι κάτω ἐς τὴν θάλατταν. ὡς δὲ ἔγνω ἀδύνατον ὂν πείθειν, ἀποπέμπει ἡμᾶς ἑστιάσας ἑπτὰ ἡμέρας.

21 Así quedó establecida la paz. En seguida se demolió el muro y procedieron a nuestra devolución —éramos prisioneros de guerra— . Cuando regresamos a la Luna, salieron a recibirnos y nos acogieron con lágrimas tanto nuestros compañeros como el propio Endimión. Él me rogó que permaneciera a su lado y participara en la colonización, prometiendo darme en matrimonio a su propio hijo, pues allí no hay mujeres; mas yo no acepté en modo alguno, y le rogué que me dejara descender al mar. Cuando comprendió que no lograría convencerme,

[37] Traducimos aproximativamente estos nombres de imaginarios habitantes de ambos astros, que reflejan las cualidades atribuidas por antonomasia al Sol y a la Luna. Respecto del tratado, cf. TUCÍDIDES, V 18.

nos dejó partir, tras hospedarnos siete días.

[1,22] Ἃ δὲ ἐν τῷ μεταξὺ διατρίβων ἐν τῇ σελήνῃ κατενόησα καινὰ καὶ παράδοξα, ταῦτα βούλομαι εἰπεῖν. πρῶτα μὲν τὸ μὴ ἐκ γυναικῶν γεννᾶσθαι αὐτούς, ἀλλ᾽ ἀπὸ τῶν ἀρρένων? γάμοις γὰρ τοῖς ἄρρεσι χρῶνται καὶ οὐδὲ ὄνομα γυναικὸς ὅλως ἴσασι. μέχρι μὲν οὖν πέντε καὶ εἴκοσι ἐτῶν γαμεῖται ἕκαστος, ἀπὸ δὲ τούτων γαμεῖ αὐτός? κύουσι δὲ οὐκ ἐν τῇ νηδύϊ, ἀλλ᾽ ἐν ταῖς γαστροκνημίαις? ἐπειδὰν γὰρ συλλάβῃ τὸ ἔμβρυον, παχύνεται ἡ κνήμη, καὶ χρόνῳ ὕστερον ἀνατεμόντες ἐξάγουσι νεκρά, ἐκθέντες δὲ αὐτὰ πρὸς τὸν ἄνεμον κεχηνότα ζῳοποιοῦσιν. δοκεῖ δέ μοι καὶ ἐς τοὺς Ἕλληνας ἐκεῖθεν ἥκειν τῆς γαστροκνημίας τοὔνομα, ὅτι παρ᾽ ἐκείνοις ἀντὶ γαστρὸς κυοφορεῖ. μεῖζον δὲ τούτου ἄλλο διηγήσομαι. γένος ἐστὶ παρ᾽ αὐτοῖς ἀνθρώπων οἱ καλούμενοι Δενδρῖται, γίνεται δὲ τὸν τρόπον τοῦτον. ὄρχιν ἀνθρώπου τὸν δεξιὸν ἀποτεμόντες ἐν γῇ φυτεύουσιν, ἐκ δὲ αὐτοῦ δένδρον ἀναφύεται μέγιστον, σάρκινον, οἷον φαλλός? ἔχει δὲ καὶ κλάδους καὶ φύλλα? ὁ δὲ καρπός ἐστι βάλανοι πηχυαῖοι τὸ μέγεθος. ἐπειδὰν οὖν πεπανθῶσιν, τρυγήσαντες αὐτὰς ἐκκολάπτουσι τοὺς ἀνθρώπους. αἰδοῖα μέντοι πρόσθετα ἔχουσιν, οἱ μὲν ἐλεφάντινα, οἱ δὲ πένητες αὐτῶν ξύλινα, καὶ διὰ τούτων ὀχεύουσι καὶ πλησιάζουσι τοῖς γαμέταις τοῖς ἑαυτῶν.

22 Entretanto, durante mi estancia en la Luna, observé muchas rarezas y curiosidades, que quiero relatar. En primer lugar, no nacen de mujeres, sino de hombres: se casan con hombres, y ni siquiera conocen la palabra «mujer». Hasta los veinticinco años actúan como esposas y, a partir de esa edad, como maridos. Y no quedan embarazados en el vientre, sino en la pantorrilla. A partir de la concepción, comienza a engordar la pierna; transcurrido el tiempo, dan un corte y extraen el feto muerto, pero lo exponen al viento con la boca abierta y le hacen vivir. A mi parecer, es de aquí de donde llegó hasta los griegos el término «pierna del vientre»[38], porque allí se alberga el feto, en vez de en el vientre.
Pero voy a referirme a algo aún más sorprendente. Existe allí un linaje de hombres, los llamados «arbóreos»[39], que nacen del modo siguiente. Cortan el testículo derecho de un hombre y lo plantan en la tierra; de él brota un corpulento árbol de carne, semejante a un falo[40]: tiene ramas y hojas y su fruto son las bellotas, del tamaño de un codo; cuando están ya maduras, las recolectan y extraen de su interior a los hombres.
Además, sus partes pudendas son artificiales. Algunos las tienen de marfil, pero los pobres las usan de madera, y con ellas se unen y fecundan a su pareja.

[1,23] ἐπειδὰν δὲ γηράσῃ ὁ ἄνθρωπος, οὐκ ἀποθνήσκει, ἀλλ᾽ ὥσπερ καπνὸς διαλυόμενος ἀὴρ γίνεται. τροφὴ δὲ πᾶσιν ἡ αὐτή? ἐπειδὰν γὰρ πῦρ ἀνακαύσωσιν,

23 Tras la vejez, el hombre no muere, sino que, como el humo, se disuelve y convierte en aire. Su alimento es para todos el mismo: encienden fuego y asan ranas sobre el

[38] *Gastroknémía.* Significa «pantorrilla», parte gruesa de la pierna, en forma panzuda, pero preferimos dar en el texto la traducción etimológica del compuesto antecitado, sobre el cual Luciano deja correr su imaginación.
[39] Griego *Dendritai.*
[40] Representación plástica del miembro viril con fines mágicos y de culto religioso a la fecundidad.

βατράχους ὀπτῶσιν ἐπὶ τῶν ἀνθράκων? πολλοὶ δὲ παρ΄ αὐτοῖς εἰσιν ἐν τῷ ἀέρι πετόμενοι? ὀπτωμένων δὲ περικαθεσθέντες ὥσπερ δὴ περὶ τράπεζαν κάπτουσιν τὸν ἀναθυμιώμενον καπνὸν καὶ εὐωχοῦνται. σίτῳ μὲν δὴ τρέφονται τοιούτῳ? ποτὸν δὲ αὐτοῖς ἐστιν ἀὴρ ἀποθλιβόμενος εἰς κύλικα καὶ ὑγρὸν ἀνιεὶς ὥσπερ δρόσον. οὐ μὴν ἀπουροῦσίν γε καὶ ἀφοδεύουσιν, ἀλλ΄ οὐδὲ τέτρηνται ἥπερ ἡμεῖς, οὐδὲ τὴν συνουσίαν οἱ παῖδες ἐν ταῖς ἕδραις παρέχουσιν, ἀλλ΄ ἐν ταῖς ἰγνύσιν ὑπὲρ τὴν γαστροκνημίαν? ἐκεῖ γάρ εἰσι τετρημένοι. Καλὸς δὲ νομίζεται παρ΄ αὐτοῖς ἦν πού τις φαλακρὸς καὶ ἄκομος ᾖ, τοὺς δὲ κομήτας καὶ μυσάττονται. ἐπὶ δὲ τῶν κομητῶν ἀστέρων τοὐναντίον τοὺς κομήτας καλοὺς νομίζουσιν? ἐπεδήμουν γάρ τινες, οἳ καὶ περὶ ἐκείνων διηγοῦντο. καὶ μὴν καὶ γένεια φύουσιν μικρὸν ὑπὲρ τὰ γόνατα. καὶ ὄνυχας ἐν τοῖς ποσὶν οὐκ ἔχουσιν, ἀλλὰ πάντες εἰσὶν μονοδάκτυλοι. ὑπὲρ δὲ τὰς πυγὰς ἑκάστῳ αὐτῶν κράμβη ἐκπέφυκε μακρὰ ὥσπερ οὐρά, θάλλουσα ἐς ἀεὶ καὶ ὑπτίου ἀναπίπτοντος οὐ κατακλωμένη.

rescoldo —pues las ranas son muy abundantes allí, y vuelan—; una vez asadas, se sientan en círculo, como en torno a una mesa, aspiran el humo que asciende y se dan el festín[41]. Así es su comida. La bebida consiste para ellos en aire exprimido en copa, destilando un líquido como el rocío. No orinan ni defecan, ni poseen siquiera el orificio anal en igual lugar que nosotros; ni tampoco los jóvenes ofrecen para el amor sus traseros, sino las corvas sobre la pantorrilla, pues en ese lugar tienen el orificio.
Se considera hermoso en el lugar al hombre calvo y pelón; los melenudos, en cambio, son despreciados. Mas a los cometas[42], por el contrario, los consideran hermosos por su cabellera: había allí algunos forasteros que nos hablaron de ellos. Otro detalle: tienen barbas, que crecen tímidamente sobre sus rodillas, y carecen de uñas en los pies, pues todos son solípedos. Sobre las nalgas de cada uno crece una col de gran tamaño, a guisa de cola, siempre exuberante, sin ajarse cuando caen de espaldas.

[1,24] ἀπομύττονται δὲ μέλι δριμύτατον? κἀπειδὰν ἢ πονῶσιν ἢ γυμνάζωνται, γάλακτι πᾶν τὸ σῶμα ἱδροῦσιν, ὥστε καὶ τυροὺς ἀπ΄ αὐτοῦ πήγνυνται, ὀλίγον τοῦ μέλιτος ἐπιστάξαντες? ἔλαιον δὲ ποιοῦνται ἀπὸ τῶν κρομμύων πάνυ λιπαρόν τε καὶ εὐῶδες ὥσπερ μύρον. ἀμπέλους δὲ πολλὰς ἔχουσιν ὑδροφόρους? αἱ γὰρ ῥᾶγες τῶν βοτρύων εἰσὶν ὥσπερ χάλαζα, καί, ἐμοὶ δοκεῖν, ἐπειδὰν ἐμπεσὼν ἄνεμος διασείσῃ τὰς ἀμπέλους ἐκείνας, τότε πρὸς ἡμᾶς καταπίπτει ἡ χάλαζα διαρραγέντων τῶν βοτρύων. τῇ μέντοι γαστρὶ ὅσα πήρᾳ χρῶνται τιθέντες ἐν αὐτῇ ὅσων δέονται? ἀνοικτὴ γὰρ αὐτοῖς αὖτη καὶ πάλιν κλειστή ἐστιν? ἐντέρων δὲ οὐδὲν ὑπάρχειν αὐτῇ

24 De sus narices fluye una miel muy agria y, cuando trabajan o hacen ejercicio, sudan leche por todo su cuerpo, lo que les permite elaborar queso, extendiendo sobre éste una capa de miel. De las cebollas elaboran un aceite muy denso y aromático, como perfume. Tienen muchas vides productoras de agua, pues los granos de los racimos son como el granizo y, a mi parecer, cuando sopla viento y agita dichas vides, es cuando cae sobre nosotros el granizo, al desgranarse los racimos. Usan sus vientres como alforjas, colocando en ellos los objetos de uso corriente, pues pueden abrirlos y cerrarlos. No parecen encerrar intestinos en ellos: tan sólo una espesa cabellera interior, lo que les

[41] Cf. HERÓDOTO, I 202, IV 75; ESTRABÓN, XV 1 57.
[42] Cometa (gr. *komētés) significa* etimológicamente «melenudo».

φαίνεται, ἢ τοῦτο μόνον, ὅτι δασεῖα πᾶσα ἔντοσθε καὶ λάσιός ἐστιν, ὥστε καὶ τὰ νεογνά, ἐπειδὰν ῥιγώσῃ, ἐς ταύτην ὑποδύεται.

permite albergar a los recién nacidos cuando hace frío.

[1,25] Ἐσθὴς δὲ τοῖς μὲν πλουσίοις ὑαλίνη μαλθακή, τοῖς πένησι δὲ χαλκῆ ὑφαντή? πολύχαλκα γὰρ τὰ ἐκεῖ χωρία, καὶ ἐργάζονται τὸν χαλκὸν ὕδατι ὑποβρέξαντες ὥσπερ τὰ ἔρια. περὶ μέντοι τῶν ὀφθαλμῶν, οἵους ἔχουσιν, ὀκνῶ μὲν εἰπεῖν, μή τίς με νομίσῃ ψεύδεσθαι διὰ τὸ ἄπιστον τοῦ λόγου. ὅμως δὲ καὶ τοῦτο ἐρῶ? τοὺς ὀφθαλμοὺς περιαιρετοὺς ἔχουσι, καὶ ὁ βουλόμενος ἐξελὼν τοὺς αὑτοῦ φυλάττει ἔστ᾽ ἂν δεηθῇ ἰδεῖν? οὕτω δὲ ἐνθέμενος ὁρᾷ? καὶ πολλοὶ τοὺς σφετέρους ἀπολέσαντες παρ᾽ ἄλλων χρησάμενοι ὁρῶσιν. εἰσὶ δ᾽ οἳ καὶ πολλοὺς ἀποθέτους ἔχουσιν, οἱ πλούσιοι. τὰ ὦτα δὲ πλατάνων φύλλα ἐστὶν αὐτοῖς πλήν γε τοῖς ἀπὸ τῶν βαλάνων? ἐκεῖνοι γὰρ μόνοι ξύλινα ἔχουσιν.

25 El vestido de los ricos es de vidrio maleable[43], y el de los pobres de hilado de bronce, pues abunda el bronce en aquellas regiones y lo trabajan reblandeciéndolo en agua, como la lana. En cuanto a las características de sus ojos, dudo en hablar de ello, por temor de que me juzguen mentiroso, dado lo increíble del relato. Ello no obstante, lo expondré. Tienen los ojos desmontables, y quien lo desea puede quitárselos y guardarlos hasta que necesite ver; entonces se los coloca y ve. Muchos, al perder los propios, los piden prestados a otros y ven. Los ricos suelen tener muchos en reserva. Tienen por orejas hojas de plátano, excepto los hombres-bellota; únicamente ellos las tienen de madera [44].

[1,26] καὶ μὴν καὶ ἄλλο θαῦμα ἐν τοῖς βασιλείοις ἐθεασάμην? κάτοπτρον μέγιστον κεῖται ὑπὲρ φρέατος οὐ πάνυ βαθέος. ἂν μὲν οὖν εἰς τὸ φρέαρ καταβῇ τις, ἀκούει πάντων τῶν παρ᾽ ἡμῖν ἐν τῇ γῇ λεγομένων, ἐὰν δὲ εἰς τὸ κάτοπτρον ἀποβλέψῃ, πάσας μὲν πόλεις, πάντα δὲ ἔθνη ὁρᾷ ὥσπερ ἐφεστὼς ἑκάστοις? τότε καὶ τοὺς οἰκείους ἐγὼ ἐθεασάμην καὶ πᾶσαν τὴν πατρίδα, εἰ δὲ κἀκεῖνοι ἐμὲ ἑώρων, οὐκέτι ἔχω τὸ ἀσφαλὲς εἰπεῖν. ὅστις δὲ ταῦτα μὴ πιστεύει οὕτως ἔχειν, ἄν ποτε καὶ αὐτὸς ἐκεῖσε ἀφίκηται, εἴσεται ὡς ἀληθῆ λέγω.

26 Vi también otra maravilla en el palacio real. Un enorme espejo está situado sobre un pozo no muy profundo. Quien desciende al pozo oye todo cuanto se dice entre nosotros, en la Tierra; y si mira al espejo ve todas las ciudades y todos los pueblos, como si se alzara sobre ellos[45]. Yo vi, a la sazón, a mi familia y a todo mi pueblo, pero no puedo decir con certeza si ellos también me vieron. Quien no crea que ello es así, si alguna vez va por allí en persona, sabrá que digo la verdad.

[1,27] Τότε δ᾽ οὖν ἀσπασάμενοι τὸν βασιλέα καὶ τοὺς ἀμφ᾽ αὐτόν, ἐμβάντες ἀνήχθημεν? ἐμοὶ δὲ καὶ δῶρα ἔδωκεν ὁ Ἐνδυμίων, δύο μὲν τῶν ὑαλίνων χιτώνων, πέντε δὲ

27 Llegado el momento, nos despedimos del rey y su corte, y, tras embarcar, zarpamos. A mí diome Endimión como presentes dos túnicas de vidrio, cinco de bronce y un

---

[43] ¿Se trata de una parodia de HERÓDOTO, VII 65, donde se habla de vestidos de madera?

[44] Como corresponde a su *phýsis* o peculiar naturaleza.

[45] *Tópos* o lugar común. Cf. *Icaromenipo* 25, etc.

χαλκοῦς, καὶ πανοπλίαν θερμίνην, ἃ πάντα ἐν τῷ κήτει κατέλιπον. συνέπεμψε δὲ ἡμῖν καὶ Ἱππογύπους χιλίους παραπέμψοντας ἄχρι σταδίων πεντακοσίων.

equipo de armas de altramuz, pero todo ello lo dejé en la ballena. Envió también con nosotros mil cabalgabuitres para que nos escoltaran quinientos estadios.

[1,28] ἐν δὲ τῷ παράπλῳ πολλὰς μὲν καὶ ἄλλας χώρας παρημείψαμεν, προσέσχομεν δὲ καὶ τῷ Ἑωσφόρῳ ἄρτι συνοικιζομένῳ, καὶ ἀποβάντες ὑδρευσάμεθα. ἐμβάντες δὲ εἰς τὸν ζῳδιακὸν ἐν ἀριστερᾷ παρήειμεν τὸν ἥλιον, ἐν χρῷ τὴν γῆν παραπλέοντες? οὐ γὰρ ἀπέβημεν καίτοι πολλὰ τῶν ἑταίρων ἐπιθυμούντων, ἀλλ΄ ὁ ἄνεμος οὐκ ἐφῆκεν. ἐθεώμεθα μέντοι τὴν χώραν εὐθαλῆ τε καὶ πίονα καὶ εὔυδρον καὶ πολλῶν ἀγαθῶν μεστήν. ἰδόντες δ΄ ἡμᾶς οἱ Νεφελοκένταυροι, μισθοφοροῦντες παρὰ τῷ Φαέθοντι, ἐπέπτησαν ἐπὶ τὴν ναῦν, καὶ μαθόντες ἐνσπόνδους ἀνεχώρησαν.

28 En la travesía cruzamos muchos otros países y nos detuvimos en la Estrella de la Mañana, recién colonizada; desembarcamos y nos aprovisionamos de agua. Tras penetrar en el Zodíaco, avanzamos con el Sol a babor, bordeando sus tierras. No descendimos a ellas, aunque mis compañeros insistían mucho, ya que el viento no era favorable. Veíamos, sin embargo, que el país era frondoso y fértil, bien dotado de agua y otras riquezas. Al vernos los nublocentauros, mercenarios de Faetonte, sobrevolaron la nave y, al comprobar que nos amparaba el tratado, se retiraron.

[1,29] ἤδη δὲ καὶ οἱ Ἱππόγυποι ἀπεληλύθεσαν. Πλεύσαντες δὲ τὴν ἐπιοῦσαν νύκτα καὶ ἡμέραν, περὶ ἑσπέραν ἀφικόμεθα ἐς τὴν Λυχνόπολιν καλουμένην, ἤδη τὸν κάτω πλοῦν διώκοντες. ἡ δὲ πόλις αὕτη κεῖται μεταξὺ τοῦ Πλειάδων καὶ τοῦ Ὑάδων ἀέρος, ταπεινοτέρα μέντοι πολὺ τοῦ ζῳδιακοῦ. ἀποβάντες δὲ ἄνθρωπον μὲν οὐδένα εὕρομεν, λύχνους δὲ πολλοὺς περιθέοντας καὶ ἐν τῇ ἀγορᾷ καὶ περὶ τὸν λιμένα διατρίβοντας, τοὺς μὲν μικροὺς καὶ ὥσπερ πένητας, ὀλίγους δὲ τῶν μεγάλων καὶ δυνατῶν πάνυ λαμπροὺς καὶ περιφανεῖς. οἰκήσεις δὲ αὐτοῖς καὶ λυχνεῶνες ἰδίᾳ ἑκάστῳ πεποίηντο, καὶ αὐτοὶ ὀνόματα εἶχον, ὥσπερ οἱ ἄνθρωποι, καὶ φωνὴν προϊεμένων ἠκούομεν, καὶ οὐδὲν ἡμᾶς ἠδίκουν, ἀλλὰ καὶ ἐπὶ ξένια ἐκάλουν? ἡμεῖς δὲ ὅμως ἐφοβούμεθα, καὶ οὔτε δειπνῆσαι οὔτε ὑπνῶσαί τις ἡμῶν ἐτόλμησεν. ἀρχεῖα δὲ αὐτοῖς ἐν μέσῃ τῇ πόλει πεποίηται, ἔνθα ὁ ἄρχων αὐτῶν διὰ νυκτὸς ὅλης κάθηται ὀνομαστὶ καλῶν

29 Los cabalgabuitres ya nos habían dejado. Navegamos toda la noche y el día siguiente y, al atardecer, llegamos a la denominada Ciudad de las Lámparas[46], ya en viaje de descenso. Dicha ciudad está situada entre las Pléyades y las Híades, aunque mucho más abajo que el Zodíaco. Desembarcamos, sin encontrar a hombre alguno, y sí muchas lámparas, que iban y venían y se entretenían en la plaza y en torno al puerto; unas eran pequeñas, semejantes a pobres; otras, en escaso número, grandes y poderosas, eran muy resplandecientes y ostensibles; cada una contaba con su propia mansión y candelero; tenían nombres, como las personas, y las oímos emitir palabras. No sólo no nos hicieron daño alguno, sino que nos brindaron su hospitalidad. Nosotros, sin embargo, estábamos asustados, y ninguno de nosotros osó comer o dormir. Los edificios del gobierno están establecidos en el centro de la ciudad, donde su magistrado se sienta durante toda la noche, llamando por su

[46] Griego *Lychnópolis.*

ἕκαστον? ὃς δ΄ ἂν μὴ ὑπακούσῃ, καταδικάζεται ἀποθανεῖν ὡς λιπὼν τὴν τάξιν? ὁ δὲ θάνατός ἐστι σβεσθῆναι. παρεστῶτες δὲ ἡμεῖς ἑωρῶμεν τὰ γινόμενα καὶ ἠκούομεν ἅμα τῶν λύχνων ἀπολογουμένων καὶ τὰς αἰτίας λεγόντων δι΄ ἃς ἐβράδυνον. ἔνθα καὶ τὸν ἡμέτερον λύχνον ἐγνώρισα, καὶ προσειπὼν αὐτὸν περὶ τῶν κατ΄ οἶκον ἐπυνθανόμην ὅπως ἔχοιεν? ὁ δέ μοι ἅπαντα ἐκεῖνα διηγήσατο. Τὴν μὲν οὖν νύκτα ἐκείνην αὐτοῦ ἐμείναμεν, τῇ δὲ ἐπιούσῃ ἄραντες ἐπλέομεν ἤδη πλησίον τῶν νεφῶν? ἔνθα δὴ καὶ τὴν Νεφελοκοκκυγίαν πόλιν ἰδόντες ἐθαυμάσαμεν, οὐ μέντοι ἐπέβημεν αὐτῆς? οὐ γὰρ εἴα τὸ πνεῦμα. βασιλεύειν μέντοι αὐτῶν ἐλέγετο Κόρωνος ὁ Κοττυφίωνος. καὶ ἐγὼ ἐμνήσθην Ἀριστοφάνους τοῦ ποιητοῦ, ἀνδρὸς σοφοῦ καὶ ἀληθοῦς καὶ μάτην ἐφ΄ οἷς ἔγραψεν ἀπιστουμένου. τρίτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ καὶ τὸν ὠκεανὸν ἤδη σαφῶς ἑωρῶμεν, γῆν δὲ οὐδαμοῦ, πλήν γε τῶν ἐν τῷ ἀέρι? καὶ αὗται δὲ πυρώδεις καὶ ὑπεραυγεῖς ἐφαντάζοντο. τῇ τετάρτῃ δὲ περὶ μεσημβρίαν μαλακῶς ἐνδιδόντος τοῦ πνεύματος καὶ συνιζάνοντος ἐπὶ τὴν θάλατταν κατετέθημεν.

nombre a cada una, y la que no contesta es condenada a muerte por desertora; la muerte consiste en ser apagada. Nosotros, asistimos, vimos cuanto ocurría, y escuchamos a las lámparas defenderse y exponer el motivo de su tardanza. Allí reconocí a mi propia lámpara, le hablé y pedí que me informara de los asuntos de mi casa; y ella me dio razón de todo.
Toda aquella noche permanecimos allí, y al día siguiente levamos anclas y navegábamos ya cerca de las nubes. También allí nos maravillamos al ver la ciudad de Nubecuclillos[47], pero no nos detuvimos en ella por impedirlo el viento. Decíase que reinaba allí Cornejo, hijo de Mirlón. Y yo me acordé de Aristófanes, el poeta, varón sabio y veraz, cuyos escritos fueron injustamente puestos en duda. Dos días después divisábamos ya claramente el Océano, mas no tierra alguna, excepto los países aéreos, que iban apareciendo ardientes y con vivo resplandor. Transcurridas tres jornadas, hacia mediodía, mientras soplaba una suave brisa con tendencia a remitir, nos posamos sobre el mar.

[1,30] ὡς δὲ τοῦ ὕδατος ἐψαύσαμεν, θαυμασίως ὑπερηδόμεθα καὶ ὑπερεχαίρομεν καὶ πᾶσαν ἐκ τῶν παρόντων εὐφροσύνην ἐποιούμεθα καὶ ἀπορρίψαντες ἐνηχόμεθα? καὶ γὰρ ἔτυχε γαλήνη οὖσα καὶ εὐσταθοῦν τὸ πέλαγος. Ἔοικε δὲ ἀρχὴ κακῶν μειζόνων γίνεσθαι πολλάκις ἡ πρὸς τὸ βέλτιον μεταβολή? καὶ γὰρ ἡμεῖς δύο μόνας ἡμέρας ἐν εὐδίᾳ πλεύσαντες, τῆς τρίτης ὑποφαινούσης πρὸς ἀνίσχοντα τὸν ἥλιον ἄφνω ὁρῶμεν θηρία καὶ κήτη πολλὰ μὲν καὶ ἄλλα, ἓν δὲ μέγιστον ἁπάντων ὅσον σταδίων χιλίων καὶ πεντακοσίων τὸ μέγεθος? ἐπήει δὲ κεχηνὸς καὶ πρὸ πολλοῦ

30 Cuando tocamos el agua, experimentamos un placer y una alegría extraordinarios, nos entregamos a todos los goces posibles en aquellas circunstancias, y saltamos de la nave para nadar, pues reinaba la calma y el mar ni se movía.
Parece, sin embargo, que es muchas veces comienzo de las mayores desgracias el cambio a una situación mejor. En efecto, nosotros navegamos sólo dos días con buen tiempo, mas al amanecer del tercero, a la salida del sol, vimos de repente muchos monstruos marinos, y entre ellos ballenas. Una, la más grande de todas, medía unos mil

[47] Cf. ARISTÓFANES, *Aves, passim*. Griego *Nephelokokkygía.*

ταράττον τὴν θάλατταν ἀφρῷ τε περικλυζόμενον καὶ τοὺς ὀδόντας ἐκφαῖνον πολὺ τῶν παρ΄ ἡμῖν φαλλῶν ὑψηλοτέρους, ὀξεῖς δὲ πάντας ὥσπερ σκόλοπας καὶ λευκοὺς ὥσπερ ἐλεφαντίνους. ἡμεῖς μὲν οὖν τὸ ὕστατον ἀλλήλους προσειπόντες καὶ περιβαλόντες ἐμένομεν? τὸ δὲ ἤδη παρῆν καὶ ἀναρροφῆσαν ἡμᾶς αὐτῇ νηΐ κατέπιεν. οὐ μέντοι ἔφθη συναράξαι τοῖς ὀδοῦσιν, ἀλλὰ διὰ τῶν ἀραιωμάτων ἡ ναῦς ἐς τὸ ἔσω διεξέπεσεν.

quinientos estadios de longitud. Avanzaba hacia nosotros con la boca abierta, agitando el mar en un gran trecho ante sí, toda bañada en espuma, y mostrando unos dientes mucho mayores que nuestros símbolos fálicos[48], todos agudos como empalizadas y blancos como el marfil. Nosotros intercambiamos el último saludo, nos abrazamos y nos dispusimos a esperar. Ya estaba a nuestro lado, y de un sorbo nos tragó con la nave incluida, mas no tuvo tiempo de destruirnos con sus dientes[49], pues a través de los intersticios la nave se deslizó al interior.

[1,31] ἐπεὶ δὲ ἔνδον ἦμεν, τὸ μὲν πρῶτον σκότος ἦν καὶ οὐδὲν ἑωρῶμεν, ὕστερον δὲ αὐτοῦ ἀναχανόντος εἴδομεν κύτος μέγα καὶ πάντῃ πλατὺ καὶ ὑψηλόν, ἱκανὸν μυριάνδρῳ πόλει ἐνοικεῖν. ἔκειντο δὲ ἐν μέσῳ καὶ μικροὶ ἰχθύες καὶ ἄλλα πολλὰ θηρία συγκεκομμένα, καὶ πλοίων ἱστία καὶ ἄγκυραι, καὶ ἀνθρώπων ὀστέα καὶ φορτία, κατὰ μέσον δὲ καὶ γῆ καὶ λόφοι ἦσαν, ἐμοὶ δοκεῖν, ἐκ τῆς ἰλύος ἣν κατέπινε συνιζάνουσα. ὕλη γοῦν ἐπ΄ αὐτῆς καὶ δένδρα παντοῖα ἐπεφύκει καὶ λάχανα ἐβεβλαστήκει, καὶ ἐῴκει πάντα ἐξειργασμένοις? περίμετρον δὲ τῆς γῆς στάδιοι διακόσιοι καὶ τεσσαράκοντα. ἦν δὲ ἰδεῖν καὶ ὄρνεα θαλάττια, λάρους καὶ ἀλκυόνας, ἐπὶ τῶν δένδρων νεοττεύοντα.

31 Ya dentro, al principio reinaba la oscuridad y nada veíamos, pero más tarde, cuando abrió la boca, vimos una gran cavidad, toda ella plana y elevada, capaz de albergar una ciudad de diez mil hombres. Había por medio peces grandes y pequeños, y muchos otros animales triturados, mástiles y anclas de embarcaciones, huesos humanos y mercancías. En el centro había tierra y montículos, sedimentos —a mi parecer— del limo que había tragado. Sobre ésta había crecido un bosque, con árboles de variadas especies; habían brotado hortalizas, y parecía hallarse todo ello cultivado. El perímetro de la isla abarcaba doscientos cuarenta estadios. Podían verse también pájaros marinos, gaviotas y alciones, con sus nidos en los árboles.

[1,32] Τότε μὲν οὖν ἐπὶ πολὺ ἐδακρύομεν, ὕστερον δὲ ἀναστήσαντες τοὺς ἑταίρους τὴν μὲν ναῦν ὑπεστηρίξαμεν, αὐτοὶ δὲ τὰ πυρεῖα συντρίψαντες καὶ ἀνακαύσαντες δεῖπνον ἐκ τῶν παρόντων ἐποιούμεθα. παρέκειτο δὲ ἄφθονα καὶ παντοδαπὰ κρέα τῶν ἰχθύων, καὶ ὕδωρ ἔτι τὸ ἐκ τοῦ Ἑωσφόρου εἴχομεν. τῇ ἐπιούσῃ δὲ διαναστάντες, εἴ ποτε ἀναχάνοι τὸ κῆτος,

32 Primero, lloramos un buen rato; más tarde, reanimamos a los compañeros y apuntalamos la nave; nosotros mismos, frotando el encendedor, logramos hacer fuego y preparar una cena con los alimentos a nuestro alcance. Disponíamos de peces abundantes y variados, y aún teníamos agua de la Estrella de la Mañana. Al día siguiente, al levantarnos, cada vez que la ballena abría

[48] Cf. nota 40. Sobre su tamaño, cf. LUCIANO, *Diosa Siria* 28.

[49] Las ballenas gigantes no tienen dientes, sino barbas.

ἑωρῶμεν ἄλλοτε μὲν ὄρη, ἄλλοτε δὲ μόνον τὸν οὐρανόν, πολλάκις δὲ καὶ νήσους? καὶ γὰρ ἠσθανόμεθα φερομένου αὐτοῦ ὀξέως πρὸς πᾶν μέρος τῆς θαλάττης. ἐπεὶ δὲ ἤδη ἐθάδες τῇ διατριβῇ ἐγενόμεθα, λαβὼν ἑπτὰ τῶν ἑταίρων ἐβάδιζον ἐς τὴν ὕλην περισκοπήσασθαι τὰ πάντα βουλόμενος. οὔπω δὲ πέντε ὅλους διελθὼν σταδίους εὗρον ἱερὸν Ποσειδῶνος, ὡς ἐδήλου ἡ ἐπιγραφή, καὶ μετ΄ οὐ πολὺ καὶ τάφους πολλοὺς καὶ στήλας ἐπ΄ αὐτῶν πλησίον τε πηγὴν ὕδατος διαυγοῦς, ἔτι δὲ καὶ κυνὸς ὑλακὴν ἠκούομεν καὶ καπνὸς ἐφαίνετο πόρρωθεν καί τινα καὶ ἔπαυλιν εἰκάζομεν.

la boca, veíamos unas veces montañas, otras sólo el cielo y con frecuencia también islas; así comprendimos que avanzaba rápidamente por todos los confines del mar. Cuando ya nos habíamos habituado a nuestra morada, tomé a siete compañeros y penetré en él bosque, deseoso de inspeccionarlo todo. Aun no había recorrido cinco estadios[50] completos cuando descubrí un templo de Posidón, según indicaba el rótulo grabado, y no muy lejos muchas tumbas con estelas; cerca había un manantial de agua clara. Escuchamos también el ladrido de un perro, apareció humo a lo lejos y creíamos distinguir una especie de alquería.

[1,33] Σπουδῇ οὖν βαδίζοντες ἐφιστάμεθα πρεσβύτῃ καὶ νεανίσκῳ μάλα προθύμως πρασιάν τινα ἐργαζομένοις καὶ ὕδωρ ἀπὸ τῆς πηγῆς ἐπ΄ αὐτὴν διοχετεύουσιν? ἡσθέντες οὖν ἅμα καὶ φοβηθέντες ἔστημεν? κἀκεῖνοι δὲ ταὐτὸ ἡμῖν ὡς τὸ εἰκὸς παθόντες ἄναυδοι παρειστήκεσαν? χρόνῳ δὲ ὁ πρεσβύτης ἔφη, Τίνες ὑμεῖς ἄρα ἐστέ, ὦ ξένοι; πότερον τῶν ἐναλίων δαιμόνων ἢ ἄνθρωποι δυστυχεῖς ἡμῖν παραπλήσιοι; καὶ γὰρ ἡμεῖς ἄνθρωποι ὄντες καὶ ἐν γῇ τραφέντες νῦν θαλάττιοι γεγόναμεν καὶ συννηχόμεθα τῷ περιέχοντι τούτῳ θηρίῳ, οὐδ΄ ὃ πάσχομεν ἀκριβῶς εἰδότες? τεθνάναι μὲν γὰρ εἰκάζομεν, ζῆν δὲ πιστεύομεν. πρὸς ταῦτα ἐγὼ εἶπον? Καὶ ἡμεῖς τοι ἄνθρωποι νεήλυδές ἐσμεν, ὦ πάτερ, αὐτῷ σκάφει πρῴην καταποθέντες, προήλθομεν δὲ νῦν βουλόμενοι μαθεῖν τὰ ἐν τῇ ὕλῃ ὡς ἔχει? πολλὴ γάρ τις καὶ λάσιος ἐφαίνετο. δαίμων δέ τις, ὡς ἔοικεν, ἡμᾶς ἤγαγεν σέ τε ὀψομένους καὶ εἰσομένους ὅτι μὴ μόνοι ἐν τῷδε καθείργμεθα τῷ θηρίῳ? ἀλλὰ φράσον γε ἡμῖν τὴν σαυτοῦ τύχην, ὅστις τε ὢν καὶ ὅπως δεῦρο εἰσῆλθες. ὁ δὲ οὐ πρότερον ἔφη

33 Avanzamos muy presurosos y nos acercamos a un anciano y a un joven, muy ocupados trabajando en una parcela y conduciendo agua desde la fuente hasta ella. Con tanta alegría como temor nos detuvimos; ellos experimentaron lo mismo que nosotros, probablemente, y sin decir palabra permanecieron inmóviles. Pasado un tiempo, el viejo preguntó: «¿Quiénes sois vosotros, extranjeros? ¿Sois acaso dioses marinos u hombres desdichados, como nosotros? Nosotros, siendo hombres y habiéndonos criado en la tierra, nos hemos convertido en seres marinos, y vamos por el agua en este monstruo que nos encierra, sin saber exactamente cuál es nuestra condición, pues imaginamos estar muertos, pero tenemos fe en que vivimos.» A esas palabras yo repliqué: «También nosotros somos hombres recién llegados, padre[51], tragados ayer con la nave incluida, que nos hemos aproximado ahora, deseosos de saber qué había en el bosque, pues veíamos que era grande y espeso; mas un dios, al parecer, nos ha conducido a verte y enterarnos de que no somos los únicos

[50] 888 m.

[51] Apelativo en señal de respeto al anciano.

ἐρεῖν οὐδὲ πεύσεσθαι παρ᾽ ἡμῶν, πρὶν ξενίων τῶν παρόντων μεταδοῦναι, καὶ λαβὼν ἡμᾶς ἦγεν ἐπὶ τὴν οἰκίαν— ἐπεποίητο δὲ αὐτάρκη καὶ στιβάδας ἐνῳκοδόμητο καὶ τὰ ἄλλα ἐξήρτιστο— παραθεὶς δὲ ἡμῖν λάχανά τε καὶ ἀκρόδρυα καὶ ἰχθῦς, ἔτι δὲ καὶ οἶνον ἐγχέας, ἐπειδὴ ἱκανῶς ἐκορέσθημεν, ἐπυνθάνετο ἃ πεπόνθειμεν? κἀγὼ πάντα ἑξῆς διηγησάμην, τόν τε χειμῶνα καὶ τὰ ἐν τῇ νήσῳ καὶ τὸν ἐν τῷ ἀέρι πλοῦν καὶ τὸν πόλεμον καὶ τὰ ἄλλα μέχρι τῆς εἰς τὸ κῆτος καταδύσεως.

prisioneros de este monstruo. Cuéntanos, pues, tu historia, quién eres y cómo has venido hasta aquí.». Pero él respondió que no hablaría ni nos haría preguntas antes de entregarnos los dones de hospitalidad de que disponía; y, tomándonos, nos condujo a su casa. Tenía las dimensiones suficientes y había construido también lechos de hojarasca y demás instalaciones. Nos ofreció hortalizas, frutos secos y peces y, además, nos escanció vino. Cuando nos hubimos saciado, nos preguntó qué nos había ocurrido. Yo se lo relaté todo puntualmente: la tempestad, lo de la isla, la navegación por el aire, la guerra y demás aventuras hasta nuestra inmersión en la ballena.

[1,34] Ὁ δὲ ὑπερθαυμάσας καὶ αὐτὸς ἐν μέρει τὰ καθ᾽ αὑτὸν διεξῄει λέγων, Τὸ μὲν γένος εἰμί, ὦ ξένοι, Κύπριος, ὁρμηθεὶς δὲ κατ᾽ ἐμπορίαν ἀπὸ τῆς πατρίδος μετὰ παιδός, ὃν ὁρᾶτε, καὶ ἄλλων πολλῶν οἰκετῶν ἔπλεον εἰς Ἰταλίαν ποικίλον φόρτον κομίζων ἐπὶ νεὼς μεγάλης, ἣν ἐπὶ στόματι τοῦ κήτους διαλελυμένην ἴσως ἑωράκατε. μέχρι μὲν οὖν Σικελίας εὐτυχῶς διεπλεύσαμεν? ἐκεῖθεν δὲ ἁρπασθέντες ἀνέμῳ σφοδρῷ τριταῖοι ἐς τὸν ὠκεανὸν ἀπηνέχθημεν, ἔνθα τῷ κήτει περιτυχόντες καὶ αὐτανδροι καταποθέντες δύο ἡμεῖς μόνοι τῶν ἄλλων ἀποθανόντων ἐσώθημεν. θάψαντες δὲ τοὺς ἑταίρους καὶ ναὸν τῷ Ποσειδῶνι δειμάμενοι τουτονὶ τὸν βίον ζῶμεν, λάχανα μὲν κηπεύοντες, ἰχθῦς δὲ σιτούμενοι καὶ ἀκρόδρυα. πολλὴ δέ, ὡς ὁρᾶτε, ἡ ὕλη, καὶ μὴν καὶ ἀμπέλους ἔχει πολλάς, ἀφ᾽ ὧν ἡδύτατος οἶνος γεννᾶται? καὶ τὴν πηγὴν δὲ ἴσως εἴδετε καλλίστου καὶ ψυχροτάτου ὕδατος. εὐνὴν δὲ ἀπὸ τῶν φύλλων ποιούμεθα, καὶ πῦρ ἄφθονον καίομεν, καὶ ὄρνεα δὲ θηρεύομεν τὰ εἰσπετόμενα, καὶ ζῶντας ἰχθῦς ἀγρεύομεν ἐξιόντες ἐπὶ τὰ βραγχία τοῦ θηρίου, ἔνθα καὶ λουόμεθα, ὁπόταν ἐπιθυμήσωμεν. καὶ

34 Él quedó maravillado en extremo, y nos contó por su parte su propia historia, diciendo: «Soy de origen chipriota, extranjeros; partí de mi patria por motivos comerciales con mi hijo, a quien veis, y muchos criados: navegaba rumbo a Italia transportando diversas mercancías en un gran navío, que seguramente habéis visto destruido en la boca de la ballena. Hasta Sicilia navegamos felizmente, pero a partir de allí, arrebatados por un fuerte vendaval, fuimos lanzados, al tercer día, al Océano, donde nos encontramos con la ballena y fuimos tragados, nave y tripulantes; sólo nosotros dos nos salvamos, muriendo el resto. Tras sepultar a nuestros compañeros y edificar un templo a Posidón, adoptamos este género de vida, cultivando hortalizas y alimentándonos de peces y frutos secos. Como veis, el bosque es muy extenso y tiene incluso muchas vides, de las que se cosecha un vino dulcísimo. Sin duda visteis el manantial de agua en extremo hermosa y fresca. Construimos nuestros lechos de hojas, encendemos fuego abundante, cazamos las aves que vuelan por aquí dentro y capturamos los peces vivos saliendo hasta las

μὴν καὶ λίμνη οὐ πόρρω ἐστὶν σταδίων εἴκοσι τὴν περίμετρον, ἰχθῦς ἔχουσα παντοδαπούς, ἐν ᾗ καὶ νηχόμεθα καὶ πλέομεν ἐπὶ σκάφους μικροῦ, ὃ ἐγὼ ἐναυπηγησάμην. ἔτη δέ ἐστιν ἡμῖν τῆς καταπόσεως ταῦτα ἑπτὰ καὶ εἴκοσι.

branquias del animal, donde también nos bañamos cuando nos apetece. Hay también una laguna, no lejos de aquí, de veinte estadios[52] de perímetro, con peces de todas las especies, en la que nos bañamos y navegamos en un pequeño bote que yo construí. Hace ya veintisiete años[53] que fuimos tragados.

[1,35] καὶ τὰ μὲν ἄλλα ἴσως φέρειν δυνάμεθα, οἱ δὲ γείτονες ἡμῶν καὶ πάροικοι σφόδρα χαλεποὶ καὶ βαρεῖς εἰσιν, ἄμικτοί τε ὄντες καὶ ἄγριοι. Ἦ γάρ, ἔφην ἐγώ, καὶ ἄλλοι τινές εἰσιν ἐν τῷ κήτει; Πολλοὶ μὲν οὖν, ἔφη, καὶ ἄξενοι καὶ τὰς μορφὰς ἀλλόκοτοι? τὰ μὲν γὰρ ἑσπέρια καὶ οὐραῖα τῆς ὕλης Ταριχᾶνες οἰκοῦσιν, ἔθνος ἐγχελυωπὸν καὶ καραβοπρόσωπον, μάχιμον καὶ θρασὺ καὶ ὠμοφάγον? τὰ δὲ τῆς ἑτέρας πλευρᾶς κατὰ τὸν δεξιὸν τοῖχον Τριτωνομένδητες, τὰ μὲν ἄνω ἀνθρώποις ἐοικότες, τὰ δὲ κάτω τοῖς γαλεώταις, ἧττον μέντοι ἄδικοί εἰσιν τῶν ἄλλων? τὰ λαιὰ δὲ Καρκινόχειρες καὶ Θυννοκέφαλοι συμμαχίαν τε καὶ φιλίαν πρὸς ἑαυτοὺς πεποιημένοι? τὴν δὲ μεσόγαιαν νέμονται Παγουρίδαι καὶ Ψηττόποδες, γένος μάχιμον καὶ δρομικώτατον? τὰ ἕῳα δέ, τὰ πρὸς αὐτῷ τῷ στόματι, τὰ πολλὰ μὲν ἔρημά ἐστι, προσκλυζόμενα τῇ θαλάττῃ? ὅμως δὲ ἐγὼ ταῦτα ἔχω φόρον τοῖς Ψηττόποσιν ὑποτελῶν ἑκάστου ἔτους ὄστρεια πεντακόσια.

35 »Todo podemos soportarlo, sin duda, pero nuestros vecinos y colindantes son tremendamente rudos y cargantes, pues son insociables y salvajes.» « ¡Cómo! —exclamé yo—, ¿hay también otros hombres en la ballena?» «Muchos, en efecto —respondió—, tan inhospitalarios como singulares en su aspecto. En la zona occidental del bosque, correspondiente a la cola, viven los saladores[54], tribu de ojos de anguila y rostro de bogavante, belicosa, cruel y carnívora. Al otro lado, junto al costado derecho, viven los tritoncabritos[55] en su parte superior semejantes a los hombres; en la inferior, a los peces espada, y son menos agresivos que los otros. A la izquierda están los manosdecangrejo[56] y cabezatunes[57], que han establecido un pacto de defensa y amistad recíprocas. En el interior viven los coladuras[58] y los aletasdebarbada[59], pueblos belicosos y grandes corredores. La zona de levante, junto a la boca, es desierta en su mayor parte, al ser arrasada por el mar. No obstante, yo vivo en ella, pagando a los aletasdebarbada un tributo de quinientas ostras al año.

---

[52] 3.552 m

[53] Según eso, el hijo del navegante Escíntaro sería de una edad muy avanzada, lo que no cuadra con el contexto general.

[54] Griego *Tarichânes.*

[55] Griego *Trit5noméndetEs;* Tritón es una deidad marina, y *menas* es el nombre egipcio del cabrito según HERÓDOTO (II 46), pero en la descripción no aparece ningún rasgo cabruno.

[56] Griego *Karkinócheires.*

[57] Griego *Thynnoképhaloi.*

[58] Griego *Pagourídai.*

[59] Griego *Psēttópodes.*

[1,36] τοιαύτη μὲν ἡ χώρα ἐστίν? ὑμᾶς δὲ χρὴ ὁρᾶν ὅπως δυνησόμεθα τοσούτοις ἔθνεσι μάχεσθαι καὶ ὅπως βιοτεύσομεν. Πόσοι δέ, ἔφην ἐγώ, πάντες οὗτοί εἰσιν; Πλείους, ἔφη, τῶν χιλίων. Ὅπλα δὲ τίνα ἐστὶν αὐτοῖς; Οὐδέν, ἔφη, πλὴν τὰ ὀστᾶ τῶν ἰχθύων. Οὐκοῦν, ἔφην ἐγώ, ἄριστα ἂν ἔχοι διὰ μάχης ἐλθεῖν αὐτοῖς, ἅτε οὖσιν ἀνόπλοις αὐτούς γε ὡπλισμένους? εἰ γὰρ κρατήσομεν αὐτῶν, ἀδεῶς τὸν λοιπὸν βίον οἰκήσομεν. Ἔδοξε ταῦτα, καὶ ἀπελθόντες ἐπὶ ναῦν παρεσκευαζόμεθα. αἰτία δὲ τοῦ πολέμου ἔμελλεν ἔσεσθαι τοῦ φόρου ἡ οὐκ ἀπόδοσις, ἤδη τῆς προθεσμίας ἐνεστώσης. καὶ δὴ οἱ μὲν ἔπεμπον ἀπαιτοῦντες τὸν δασμόν? ὁ δὲ ὑπεροπτικῶς ἀποκρινάμενος ἀπεδίωξε τοὺς ἀγγέλους. πρῶτοι οὖν οἱ Ψηττόποδες καὶ οἱ Παγουρίδαι χαλεπαίνοντες τῷ Σκινθάρῳ—τοῦτο γὰρ ἐκαλεῖτο—μετὰ πολλοῦ θορύβου ἐπῆεσαν.

36 »Así es el territorio: fijaos vosotros cómo podemos luchar contra tantas tribus y cómo sobrevivimos.» «¿Cuántos son todos ellos?», pregunté. «Más de un millar», contestó. «¿Y qué armas usan?» «Ninguna; sólo las espinas de los peces», repuso. «Entonces —apunté yo—, lo mejor sería enfrentarnos en combate con ellos, puesto que están desarmados y nosotros tenemos armas. Si les vencemos, viviremos sin temor el resto de nuestra vida». Pareció bien el plan, y nos retiramos a la nave a prepararnos. La causa de la guerra iba a ser el impago del tributo, pues ya se cumplía el plazo fijado. Ellos mandaron una embajada reclamando el impuesto. Él contestó despectivamente y despidió a los emisarios. Primero los aletasdebarbada y los coladuras, indignados contra Escíntaro —que así se llamaba—, avanzaron con gran alboroto.

[1,37] ἡμεῖς δὲ τὴν ἔφοδον ὑποπτεύοντες ἐξοπλισάμενοι ἀνεμένομεν, λόχον τινὰ προτάξαντες ἀνδρῶν πέντε καὶ εἴκοσι. προείρητο δὲ τοῖς ἐν τῇ ἐνέδρᾳ, ἐπειδὰν ἴδωσι παρεληλυθότας τοὺς πολεμίους, ἐπανίστασθαι? καὶ οὕτως ἐποίησαν. ἐπαναστάντες γὰρ κατόπιν ἔκοπτον αὐτούς, καὶ ἡμεῖς δὲ αὐτοὶ πέντε καὶ εἴκοσι τὸν ἀριθμὸν ὄντες—καὶ γὰρ ὁ Σκίνθαρος καὶ ὁ παῖς αὐτοῦ συνεστρατεύοντο —ὑπηντιάζομεν, καὶ συμμίξαντες θυμῷ καὶ ῥώμῃ διεκινδυνεύομεν. τέλος δὲ τροπὴν αὐτῶν ποιησάμενοι κατεδιώξαμεν ἄχρι πρὸς τοὺς φωλεούς. ἀπέθανον δὲ τῶν μὲν πολεμίων ἑβδομήκοντα καὶ ἑκατόν, ἡμῶν δὲ εἷς καὶ ὁ κυβερνήτης, τρίγλης πλευρᾷ διαπαρεὶς τὸ μετάφρενον.

37 Nosotros, que sospechábamos su incursión, aguardábamos armados, tras establecer una avanzada oculta de veinticinco hombres. Se había ordenado a las fuerzas en emboscada que, tan pronto como vieran aparecer al enemigo, le atacaran, y así lo hicieron. Les atacaron por la espalda y los abatían mientras nosotros mismos, en número de veinticinco —pues Escíntaro y su hijo combatían a nuestro lado—, les salimos al frente y nos enzarzamos en la lucha, arrastrándola con coraje y potencia. Al final los pusimos en fuga y perseguimos hasta sus guaridas. Murieron ciento setenta enemigos, y uno de los nuestros, el piloto, al atravesar su espalda una espina de mújol.

[1,38] ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα ἐπηυλισάμεθα τῇ μάχῃ καὶ τρόπαιον ἐστήσαμεν ῥάχιν ξηρὰν δελφῖνος ἀναπήξαντες. τῇ ὑστεραίᾳ δὲ καὶ οἱ ἄλλοι αἰσθόμενοι παρῆσαν, τὸ μὲν δεξιὸν κέρας

38 Durante aquel día y la siguiente noche acampamos en el frente y elevamos un trofeo clavando en tierra una espina seca del delfín. Al día siguiente se presentaron también los otros, ya enterados, ocupando el ala derecha

ἔχοντες οἱ Ταριχᾶνες—ἡγεῖτο δὲ αὐτῶν Πήλαμος—τὸ δὲ εὐώνυμον οἱ Θυννοκέφαλοι, τὸ μέσον δὲ οἱ Καρκινόχειρες? οἱ γὰρ Τριτωνομένδητες τὴν ἡσυχίαν ἦγον οὐδετέροις συμμαχεῖν προαιρούμενοι. ἡμεῖς δὲ προαπαντήσαντες αὐτοῖς παρὰ τὸ Ποσειδώνιον συνεμίξαμεν πολλῇ βοῇ χρώμενοι, ἀντήχει δὲ τὸ κῆτος ὥσπερ τὰ σπήλαια. τρεψάμενοι δὲ αὐτούς, ἅτε γυμνῆτας ὄντας, καὶ καταδιώξαντες ἐς τὴν ὕλην τὸ λοιπὸν

los saladores —con su jefe, Atunero—, la izquierda los cabezatunes, y el centro los manosdecangrejo (los tritoncabritos se mantenían neutrales, al no haber decidido aliarse por ninguna de ambas partes). Nosotros nos adelantamos a encontrarles, y trabamos combate junto al al templo de Posídón, con gran griterío, y resonaba la cavidad como las cuevas. Les pusimos en fuga, por ser ellos infantería ligera, les perseguimos hasta el bosque y terminamos adueñándonos de la tierra.

[1,39] ἐπεκρατοῦμεν τῆς γῆς. καὶ μετ΄ οὐ πολὺ κήρυκας ἀποστείλαντες νεκρούς τε ἀνῃροῦντο καὶ περὶ φιλίας διελέγοντο? ἡμῖν δὲ οὐκ ἐδόκει σπένδεσθαι, ἀλλὰ τῇ ὑστεραίᾳ χωρήσαντες ἐπ΄ αὐτοὺς πάντας ἄρδην ἐξεκόψαμεν πλὴν τῶν Τριτωνομενδήτων. οὗτοι δέ, ὡς εἶδον τὰ γινόμενα, διαδράντες ἐκ τῶν βραγχίων ἀφῆκαν αὑτοὺς εἰς τὴν θάλατταν. ἡμεῖς δὲ τὴν χώραν ἐπελθόντες ἔρημον ἤδη οὖσαν τῶν πολεμίων τὸ λοιπὸν ἀδεῶς κατῳκοῦμεν, τὰ πολλὰ γυμνασίοις τε καὶ κυνηγεσίοις χρώμενοι καὶ ἀμπελουργοῦντες καὶ τὸν καρπὸν συγκομιζόμενοι τὸν ἐκ τῶν δένδρων, καὶ ὅλως ἐῴκειμεν τοῖς ἐν δεσμωτηρίῳ μεγάλῳ καὶ ἀφύκτῳ τρυφῶσι καὶ λελυμένοις. Ἐνιαυτὸν μὲν οὖν καὶ μῆνας ὀκτὼ τοῦτον διήγομεν τὸν τρόπον.

39 Al poco rato enviaban heraldos para retirar sus muertos y establecer una alianza, pero nosotros no aceptamos negociar, y al día siguiente avanzamos sobre ellos y exterminamos a todos por completo, excepto a los tritoncabritos. Pues éstos, cuando vieron lo que ocurría, huyeron por las branquias y se arrojaron al mar. Nosotros recorrimos el territorio, libre ya de enemigos, y desde entonces lo habitábamos sin temor, practicando casi siempre los deportes y la caza, vendimiando y recolectando los frutos de los árboles. En pocas palabras: parecíamos ser reos de una prisión enorme e infranqueable, de vida regalada y sin trabas. Un año y ocho meses vivimos de ese modo.

[1,40] τῷ δ΄ ἐνάτῳ μηνὶ πέμπτῃ ἱσταμένου, περὶ τὴν δευτέραν τοῦ στόματος ἄνοιξιν—ἅπαξ γὰρ δὴ τοῦτο κατὰ τὴν ὥραν ἑκάστην ἐποίει τὸ κῆτος, ὥστε ἡμᾶς πρὸς τὰς ἀνοίξεις τεκμαίρεσθαι τὰς ὥρας— περὶ οὖν τὴν δευτέραν, ὥσπερ ἔφην, ἄνοιξιν, ἄφνω βοή τε πολλὴ καὶ θόρυβος ἠκούετο καὶ ὥσπερ κελεύσματα καὶ εἰρεσίαι? ταραχθέντες οὖν ἀνειρπύσαμεν ἐπ΄ αὐτὸ τὸ στόμα τοῦ θηρίου καὶ στάντες ἐνδοτέρω τῶν ὀδόντων καθεωρῶμεν ἁπάντων ὧν ἐγὼ

40 Mas al quinto día del noveno mes, hacia la segunda apertura de la boca —pues la ballena lo hacía una vez por hora, de modo que nosotros medíamos el tiempo por sus aperturas—; a la segunda apertura, como he dicho, oyóse de repente gran griterío y agitación, como órdenes y ruido de remos[60]. Emocionados, nos encaramamos hasta la propia boca del animal y, en pie desde el interior de sus dientes, contemplábamos el espectáculo más insólito de cuantos he visto:

[60] Cf. TUCÍDIDES, I 48.

εἶδον θεαμάτων παραδοξότατον, ἄνδρας μεγάλους, ὅσον ἡμισταδιαίους τὰς ἡλικίας, ἐπὶ νήσων μεγάλων προσπλέοντας ὥσπερ ἐπὶ τριήρων. οἶδα μὲν οὖν ἀπίστοις ἐοικότα ἱστορήσων, λέγω δὲ ὅμως. νῆσοι ἦσαν ἐπιμήκεις μέν, οὐ πάνυ δὲ ὑψηλαί, ὅσον ἑκατὸν σταδίων ἑκάστη τὸ περίμετρον? ἐπὶ δὲ αὐτῶν ἔπλεον τῶν ἀνδρῶν ἐκείνων ἀμφὶ τοὺς εἴκοσι καὶ ἑκατόν? τούτων δὲ οἱ μὲν παρ΄ ἑκάτερα τῆς νήσου καθήμενοι ἐφεξῆς ἐκωπηλάτουν κυπαρίττοις μεγάλαις αὐτοκλάδοις καὶ αὐτοκόμοις ὥσπερ ἐρετμοῖς, κατόπιν δὲ ἐπὶ τῆς πρύμνης, ὡς ἐδόκει, κυβερνήτης ἐπὶ λόφου ὑψηλοῦ εἱστήκει χάλκεον ἔχων πηδάλιον πενταστιαῖον τὸ μῆκος? ἐπὶ δὲ τῆς πρῴρας ὅσον τετταράκοντα ὡπλισμένοι αὐτῶν ἐμάχοντο, πάντα ἐοικότες ἀνθρώποις πλὴν τῆς κόμης? αὕτη δὲ πῦρ ἦν καὶ ἐκάετο, ὥστε οὐδὲ κορύθων ἐδέοντο. ἀντὶ δὲ ἱστίων ὁ ἄνεμος ἐμπίπτων τῇ ὕλῃ, πολλῇ οὔσῃ ἐν ἑκάστῃ, ἐκόλπου τε ταύτην καὶ ἔφερε τὴν νῆσον ᾗ ἐθέλοι ὁ κυβερνήτης? κελευστὴς δὲ ἐφειστήκει αὐτοῖς, καὶ πρὸς τὴν εἰρεσίαν ὀξέως ἐκινοῦντο ὥσπερ τὰ μακρὰ τῶν πλοίων.

hombres gigantes, dé medio estadio de altura, navegando sobre islas gigantes cual si de trirremes se tratase. Sé que mi relato rozará lo increíble, pero lo diré, no obstante. Eran islas alargadas, de no gran altura, de unos cien estadios de perímetro cada una. Sobre cada isla navegaban unos ciento veinte hombres como aquéllos; unos estaban sentados en hilera a ambos lados de la isla y remaban con grandes cipreses, con todas sus ramas y hojas, a guisa de remos[61]; atrás, en popa —por decirlo así—, estaba situado el piloto en una colina elevada, empuñando un timón de bronce de cinco estadios de largo. En proa combatían armados unos cuarenta de ellos; eran en todo semejantes a los hombres excepto en la cabellera: ésta era de fuego llameante, por lo que no necesitaban yelmos[62]. En lugar de velas, el viento al soplar sobre el bosque, abundante en cada isla, lo henchía y llevaba la isla adonde quería el piloto. Los remeros tenían su cómitre, y las islas se movían velozmente al compás de los remos, como las naves de guerra.

[1,41] Τὸ μὲν οὖν πρῶτον δύο ἢ τρεῖς ἑωρῶμεν, ὕστερον δὲ ἐφάνησαν ὅσον ἑξακόσιοι, καὶ διαστάντες ἐπολέμουν καὶ ἐναυμάχουν. πολλαὶ μὲν οὖν ἀντίπρῳροι συνηράσσοντο ἀλλήλαις, πολλαὶ δὲ καὶ ἐμβληθεῖσαι κατεδύοντο, αἱ δὲ συμπλεκόμεναι καρτερῶς διηγωνίζοντο καὶ οὐ ῥᾳδίως ἀπελύοντο? οἱ γὰρ ἐπὶ τῆς πρῴρας τεταγμένοι πᾶσαν ἐπεδείκνυντο προθυμίαν ἐπιβαίνοντες καὶ ἀναιροῦντες? ἐζώγρει δὲ οὐδείς. ἀντὶ δὲ χειρῶν σιδηρῶν πολύποδας μεγάλους ἐκδεδεμένους ἀλλήλοις ἐπερρίπτουν, οἱ δὲ περιπλεκόμενοι τῇ ὕλῃ κατεῖχον τὴν νῆσον. ἔβαλλον μέντοι καὶ ἐτίτρωσκον ὀστρείοις τε ἁμαξοπληθέσι

41 Al principio vimos sólo dos o tres, mas luego aparecieron unas seiscientas, y, tomando posiciones, luchaban y sostenían un combate naval. Muchas, abordándose con sus proas, se destruían entre sí, y muchas al sufrir el abordaje se hundían. Algunas se entrelazaban, combatían duramente, y no les era fácil separarse. Las fuerzas de proa demostraban su arrojo en el abordaje y la matanza, pues no se hacían prisioneros. En lugar de garfios de hierro se arrojaban entre sí grandes pulpos atados, y éstos se entrelazaban en el bosque y sujetaban la isla. Se arrojaban y herían con ostras del tamaño de un carro y esponjas de un pletro.

[61] HERÓDOTO (II 156) habla de una isla flotante en Egipto.
[62] Cf. *Ilíada* V 4.

καὶ σπόγγοις πλεθριαίοις.

[1,42] ἡγεῖτο δὲ τῶν μὲν Αἰολοκένταυρος, τῶν δὲ Θαλασσοπότης? καὶ μάχη αὐτοῖς ἐγεγένητο, ὡς ἐδόκει, λείας ἕνεκα? ἐλέγετο γὰρ ὁ Θαλασσοπότης πολλὰς ἀγέλας δελφίνων τοῦ Αἰολοκενταύρου ἐληλακέναι, ὡς ἦν ἀκούειν ἐπικαλούντων ἀλλήλοις καὶ τὰ ὀνόματα τῶν βασιλέων ἐπιβοωμένων. τέλος δὲ νικῶσιν οἱ τοῦ Αἰολοκενταύρου καὶ νήσους τῶν πολεμίων καταδύουσιν ἀμφὶ τὰς πεντήκοντα καὶ ἑκατόν? καὶ ἄλλας τρεῖς λαμβάνουσιν αὐτοῖς ἀνδράσιν? αἱ δὲ λοιπαὶ πρύμναν κρουσάμεναι ἔφευγον. οἱ δὲ μέχρι τινὸς διώξαντες, ἐπειδὴ ἑσπέρα ἦν, τραπόμενοι πρὸς τὰ ναυάγια τῶν πλείστων ἐπεκράτησαν καὶ τὰ ἑαυτῶν ἀνείλοντο? καὶ γὰρ ἐκείνων κατέδυσαν νῆσοι οὐκ ἐλάττους τῶν ὀγδοήκοντα. ἔστησαν δὲ καὶ τρόπαιον τῆς νησομαχίας ἐπὶ τῇ κεφαλῇ τοῦ κήτους μίαν τῶν πολεμίων νῆσον ἀνασταυρώσαντες. ἐκείνην μὲν οὖν τὴν νύκτα περὶ τὸ θηρίον ηὐλίσαντο ἐξάψαντες αὐτοῦ τὰ ἀπόγεια καὶ ἐπ΄ ἀγκυρῶν πλησίον ὁρμισάμενοι? καὶ γὰρ ἀγκύραις ἐχρῶντο μεγάλαις ὑαλίναις καρτεραῖς. τῇ ὑστεραίᾳ δὲ θύσαντες ἐπὶ τοῦ κήτους καὶ τοὺς οἰκείους θάψαντες ἐπ΄ αὐτοῦ ἀπέπλεον ἡδόμενοι καὶ ὥσπερ παιᾶνας ᾄδοντες. ταῦτα μὲν τὰ κατὰ τὴν νησομαχίαν γενόμενα.

42 Mandaba un bando Eolocentauro[63], y el otro Bebemar[64]. La batalla parecía haberse originado entre ellos a causa de un despojo: decíase que Bebemar había arrebatado muchos rebaños de delfines de Eolocentauro; así podía inferirse de las incriminaciones entre unos y otros y la mención, en sus gritos, de los nombres de los reyes. Terminaron venciendo los de Eolocentauro; hundieron alrededor de ciento cincuenta islas del enemigo y se apoderaron de otras tres con toda su tripulación; las restantes, tras ciar, huían. Los vencedores las persiguieron durante algún tiempo y, al atardecer, viraron hacia las destruidas, apresaron a la mayoría y se apoderaron de su flete. De ellos, se habían ido a pique no menos de ochenta islas. Elevaron también un trofeo por la batalla de las islas sobre la cabeza de la ballena, colocando sobre el poste una de las islas del enemigo. Aquella noche acamparon en torno al animal, tras atar a él las amarras y echar cerca las anclas. Usaban anclas enormes y resistentes, de vidrio[65]. Al día siguiente hicieron un sacrificio sobre la ballena, enterraron en ella a sus amigos y zarparon contentos, entonando cánticos semejantes a peanes. Eso es cuanto ocurrió en la batalla de las islas.

[63] Griego *Aiolokéntauros.*
[64] Griego *Thalassopótes.*
[65] Cf. nota 43.

II

[2,1] Τὸ δὲ ἀπὸ τούτου μηκέτι φέρων ἐγὼ τὴν ἐν τῷ κήτει δίαιταν ἀχθόμενός τε τῇ μονῇ μηχανήν τινα ἐζήτουν, δι᾽ ἧς ἂν ἐξελθεῖν γένοιτο? καὶ τὸ μὲν πρῶτον ἔδοξεν ἡμῖν διορύξασι κατὰ τὸν δεξιὸν τοῖχον ἀποδρᾶναι, καὶ ἀρξάμενοι διεκόπτομεν? ἐπειδὴ δὲ προελθόντες ὅσον πέντε σταδίους οὐδὲν ἠνύομεν, τοῦ μὲν ὀρύγματος ἐπαυσάμεθα, τὴν δὲ ὕλην καῦσαι διέγνωμεν? οὕτω γὰρ ἂν τὸ κῆτος ἀποθανεῖν? εἰ δὲ τοῦτο γένοιτο, ῥᾳδία ἔμελλεν ἡμῖν ἔσεσθαι ἡ ἔξοδος. ἀρξάμενοι οὖν ἀπὸ τῶν οὐραίων ἐκαίομεν, καὶ ἡμέρας μὲν ἑπτὰ καὶ ἴσας νύκτας ἀναισθήτως εἶχε τοῦ καύματος, ὀγδόῃ δὲ καὶ ἐνάτῃ συνίεμεν αὐτοῦ νοσοῦντος? ἀργότερον γοῦν ἀνέχασκεν καὶ εἴ ποτε ἀναχάνοι ταχὺ συνέμυεν. δεκάτῃ δὲ καὶ ἑνδεκάτῃ τέλεον ἀπενεκροῦτο καὶ δυσῶδες ἦν? τῇ δωδεκάτῃ δὲ μόλις ἐνενοήσαμεν ὡς, εἰ μή τις χανόντος αὐτοῦ ὑποστηρίξειεν τοὺς γομφίους, ὥστε μηκέτι συγκλεῖσαι, κινδυνεύσομεν κατακλεισθέντες ἐν νεκρῷ αὐτῷ ἀπολέσθαι. οὕτω δὴ μεγάλοις δοκοῖς τὸ στόμα διερείσαντες τὴν ναῦν ἐπεσκευάζομεν ὕδωρ τε ὡς ἔνι πλεῖστον ἐμβαλλόμενοι καὶ τἆλλα ἐπιτήδεια? κυβερνήσειν δὲ ἔμελλεν ὁ Σκίνθαρος. Τῇ δὲ ἐπιούσῃ τὸ μὲν ἤδη τεθνήκει.

1 A partir de ese momento, no pudiendo ya soportar la vida en la ballena, molesto por la demora, intentaba hallar el medio de salir. Primero decidimos horadarla por el costado derecho y huir, y comenzamos a cortar, mas, luego de avanzar unos cinco estadios[66] sin éxito, dejamos la perforación y resolvimos incendiar el bosque, suponiendo que así la ballena moriría, en cuyo caso nos sería fácil la salida. Comenzamos, pues, a prender fuego a la altura de la cola, y durante siete días y otras tantas noches no se apercibió del incendio, mas al octavo y noveno notamos que se hallaba afectada, ya que abría la boca con mayor frecuencia y, una vez abierta, la cerraba rápidamente. Entre el décimo y undécimo inició su agonía y comenzó a oler mal. Al duodécimo comprendimos aún a tiempo que, si no se apuntalaba su dentadura al abrirla, de modo que ya no pudiera cerrarla, correríamos peligro de perecer aprisionados dentro de su propio cadáver. A tal fin apuntalamos su boca con grandes maderos y aprestamos la nave, tras hacer acopio de la mayor cantidad posible de agua y demás provisiones. Escíntaro iba a ser nuestro piloto.
Al día siguiente, ya había muerto.

[2,2] ἡμεῖς δὲ ἀνελκύσαντες τὸ πλοῖον καὶ διὰ τῶν ἀραιωμάτων διαγαγόντες καὶ ἐκ τῶν ὀδόντων ἐξάψαντες ἠρέμα καθήκαμεν ἐς τὴν θάλατταν? ἐπαναβάντες δὲ ἐπὶ τὰ νῶτα καὶ θύσαντες τῷ Ποσειδῶνι αὐτοῦ παρὰ τὸ τρόπαιον ἡμέρας τε τρεῖς ἐπαυλισάμενοι—νηνεμία γὰρ ἦν—τῇ

2 Logramos remontar nuestro navío, lo deslizamos a través de los intersticios y, amarrado de los dientes, lo dejamos posarse suavemente en el mar. Subimos sobre el lomo del animal y, tras ofrecer un sacrificio a Posidón allí junto al trofeo[67] y acampar tres días —pues reinaba la calma—, al cuarto

[66] 888 m.
[67] Cf. I 42.

τετάρτῃ ἀπεπλεύσαμεν. ἔνθα δὴ πολλοῖς τῶν ἐκ τῆς ναυμαχίας νεκροῖς ἀπηντῶμεν καὶ προσωκέλλομεν, καὶ τὰ σώματα καταμετροῦντες ἐθαυμάζομεν. καὶ ἡμέρας μέν τινας ἐπλέομεν εὐκράτῳ ἀέρι χρώμενοι, ἔπειτα βορέου σφοδροῦ πνεύσαντος μέγα κρύος ἐγένετο, καὶ ἀπ᾽ αὐτοῦ πᾶν ἐπάγη τὸ πέλαγος, οὐκ ἐπιπολῆς μόνον, ἀλλὰ καὶ ἐς βάθος ὅσον ἐπὶ τριακοσίας ὀργυιάς, ὥστε καὶ ἀποβάντας διαθεῖν ἐπὶ τοῦ κρυστάλλου. ἐπιμένοντος δὲ τοῦ πνεύματος φέρειν οὐ δυνάμενοι τοιόνδε τι ἐπενοήσαμεν—ὁ δὲ τὴν γνώμην ἀποφηνάμενος ἦν ὁ Σκίνθαρος—σκάψαντες γὰρ ἐν τῷ ὕδατι σπήλαιον μέγιστον ἐν τούτῳ ἐμείναμεν ἡμέρας τριάκοντα, πῦρ ἀνακαίοντες καὶ σιτούμενοι τοὺς ἰχθῦς? εὑρίσκομεν δὲ αὐτοὺς ἀνορύττοντες. ἐπεὶ δὲ ἤδη ἐπέλειπε τὰ ἐπιτήδεια, προελθόντες καὶ τὴν ναῦν πεπηγυῖαν ἀνασπάσαντες καὶ πετάσαντες τὴν ὀθόνην ἐσυρόμεθα ὥσπερ πλέοντες λείως καὶ προσηνῶς ἐπὶ τοῦ πάγους διολισθάνοντες. ἡμέρᾳ δὲ πέμπτῃ ἀλέα τε ἦν ἤδη καὶ ὁ πάγος ἐλύετο καὶ ὕδωρ πάντα αὖθις ἐγίγνετο.

zarpamos. Por allí encontramos y abordamos muchos cadáveres de la batalla naval, y el comprobar sus dimensiones nos asombraba. Durante algunos días navegamos con brisa moderada, pero después se levantó un bóreas[68] impetuoso e hizo mucho frío, por cuya causa se heló todo el mar, no sólo en superficie, sino también en profundidad, hasta unas seis brazas, de suerte que podíamos descender de la nave y correr por hielo. Como seguía soplando el viento y no podíamos soportarlo, ideamos —a propuesta de Escíntaro— lo siguiente: excavamos en el agua una gran caverna y en ella permanecimos durante treinta días, manteniendo una hoguera encendida y alimentándonos de peces, pues los encontrábamos al cavar. Cuando se nos agotaron las provisiones, salimos al exterior, desembarrancamos la nave encallada, desplegamos el velamen, y la arrastramos, dispuestos a navegar deslizándonos suave y blandamente sobre el hielo. Al quinto día hacía ya calor, y el hielo se iba fundiendo y todo volvía a ser de nuevo agua.

[2,3] Πλεύσαντες οὖν ὅσον τριακοσίους σταδίους νήσῳ μικρᾷ καὶ ἐρήμῃ προσηνέχθημεν, ἀφ᾽ ἧς ὕδωρ λαβόντες—ἐπελελοίπει γὰρ ἤδη—καὶ δύο ταύρους ἀγρίους κατατοξεύσαντες ἀπεπλεύσαμεν. οἱ δὲ ταῦροι οὗτοι τὰ κέρατα οὐκ ἐπὶ τῆς κεφαλῆς εἶχον, ἀλλ᾽ ὑπὸ τοῖς ὀφθαλμοῖς, ὥσπερ ὁ Μῶμος ἠξίου. μετ᾽ οὐ πολὺ δὲ εἰς πέλαγος ἐνεβαίνομεν, οὐχ ὕδατος, ἀλλὰ γάλακτος? καὶ νῆσος ἐν αὐτῷ ἐφαίνετο λευκὴ πλήρης ἀμπέλων. ἦν δὲ ἡ νῆσος τυρὸς μέγιστος συμπεπηγώς, ὡς ὕστερον ἐμφαγόντες ἐμάθομεν, σταδίων εἴκοσι πέντε τὸ περίμετρον? αἱ δὲ ἄμπελοι

3 Tras navegar alrededor de trescientos estadios[69] dimos con una pequeña isla desierta, en la que nos aprovisionamos de agua, que ya escaseaba, cazamos al arco dos toros salvajes, y zarpamos. Dichos toros no tenían los cuernos en la cabeza, sino bajo los ojos, como pretendía Momo[70]. No tardamos mucho en llegar a un mar no de agua, sino de leche, en el que se divisaba una isla blanca, llena de vides: era la isla un enorme queso compacto, según luego averiguamos al comerlo, de veinticinco estadios de perímetro. Las vides estaban cargadas de racimos, pero en lugar de vino exprimíamos

[68] Viento frío del N.

[69] 53.280 m.70

[70] Lugar común. El dios de la burla creía que el animal debía ver lo que hacía con sus naturales armas defensivas.

βοτρύων πλήρεις, οὐ μέντοι οἶνον, ἀλλὰ γάλα ἐξ αὐτῶν ἀποθλίβοντες ἐπίνομεν. ἱερὸν δὲ ἐν μέσῃ τῇ νήσῳ ἀνῳκοδόμητο Γαλατείας τῆς Νηρηΐδος, ὡς ἐδήλου τὸ ἐπίγραμμα. ὅσον οὖν χρόνον ἐκεῖ ἐμείναμεν, ὄψον μὲν ἡμῖν καὶ σιτίον ἡ γῆ ὑπῆρχεν, ποτὸν δὲ τὸ γάλα τὸ ἐκ τῶν βοτρύων. βασιλεύειν δὲ τῶν χωρίων τούτων ἐλέγετο Τυρὼ ἡ Σαλμωνέως, μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν ταύτην παρὰ τοῦ Ποσειδῶνος λαβοῦσα τὴν τιμήν.

de ellos y bebíamos leche. Un templo se alzaba en medio de la isla, consagrado a Galatea[71], la Nereida, según indicaba la inscripción. Todo el tiempo que allí permanecimos, la tierra fue nuestro pan y nuestra carne, y la leche de las vides nuestra bebida. Se decía que la reina de esas tierras era Tiro[72], hija de Salmoneo, que, tras partir de su patria, recibió ese título de parte de Posidón.

[2,4] Μείναντες δὲ ἡμέρας ἐν τῇ νήσῳ πέντε, τῇ ἕκτῃ ἐξωρμήσαμεν, αὔρας μέν τινος παραπεμπούσης, λειοκύμονος δὲ οὔσης τῆς θαλάττης? ὀγδόῃ δὲ ἡμέρᾳ πλέοντες οὐκέτι διὰ τοῦ γάλακτος, ἀλλ᾽ ἤδη ἐν ἁλμυρῷ καὶ κυανέῳ ὕδατι, καθορῶμεν ἀνθρώπους πολλοὺς ἐπὶ τοῦ πελάγους διαθέοντας, ἅπαντα ἡμῖν προσεοικότας, καὶ τὰ σώματα καὶ τὰ μεγέθη, πλὴν τῶν ποδῶν μόνων? ταῦτα γὰρ φέλλινα εἶχον, ἀφ᾽ οὗ δή, οἶμαι, καὶ ἐκαλοῦντο Φελλόποδες. ἐθαυμάσαμεν οὖν ἰδόντες οὐ βαπτιζομένους, ἀλλὰ ὑπερέχοντας τῶν κυμάτων καὶ ἀδεῶς ὁδοιποροῦντας. οἱ δὲ καὶ προσήεσαν καὶ ἠσπάζοντο ἡμᾶς Ἑλληνικῇ φωνῇ? ἔλεγον δὲ εἰς Φελλὼ τὴν αὑτῶν πατρίδα ἐπείγεσθαι. μέχρι μὲν οὖν τινος συνωδοιπόρουν ἡμῖν παραθέοντες, εἶτα ἀποτραπόμενοι τῆς ὁδοῦ ἐβάδιζον εὔπλοιαν ἡμῖν ἐπευξάμενοι.

4 Tras permanecer cinco días en la isla, al sexto partimos al impulso de una brisa, en medio de un mar ondulado. Al octavo día, cuando ya no navegábamos a través de la leche, sino en aguas de nuevo saladas y azules, avistamos muchos hombres que corrían sobre el mar, en todo semejantes a nosotros, tanto en forma como en talla, con la sola excepción de sus pies, que los tenían de corcho, por cuyo motivo sin duda eran llamados «corchópodos»[73]. Nos admiramos al comprobar que no se hundían, sino que se mantenían en pie sobre las olas y avanzaban sin temor; algunos se acercaban y nos daban la bienvenida en lengua griega: decían dirigirse a Corcho[74], su patria. Durante algún trecho avanzaron con nosotros, caminando a nuestro lado; luego se apartaron de nuestra ruta y siguieron adelante, tras desearnos una feliz travesía.

Μετ᾽ ὀλίγον δὲ πολλαὶ νῆσοι ἐφαίνοντο, πλησίον μὲν ἐξ ἀριστερῶν ἡ Φελλώ, ἐς ἣν ἐκεῖνοι ἔσπευδον, πόλις ἐπὶ μεγάλου καὶ στρογγύλου φελλοῦ κατοικουμένη? πόρρωθεν δὲ καὶ μᾶλλον ἐν δεξιᾷ πέντε μέγισται καὶ ὑψηλόταται, καὶ πῦρ πολὺ ἀπ᾽ αὐτῶν ἀνεκαίετο. κατὰ δὲ τὴν πρῷραν μία

Poco después dábamos vista a muchas islas. Cerca de nosotros, a babor, estaba Corcho, a la que aquéllos se dirigían, ciudad edificada sobre un gran corcho redondo: Lejos, y más a estribor, había cinco islas, muy grandes y elevadas, en las que ardían numerosas hogueras. Frente a proa había una, plana y

[71] El nombre de la ninfa es relacionado con *gála* «leche».

[72] Relación entre Tiro y *tyrós* «queso».

[73] Griego *Phellópodes.* Acéptese en éste, como en tantos otros casos, el compuesto híbrido en gracia a la expresividad del contexto.

[74] Griego *Phello.*

πλατεῖα καὶ ταπεινή, σταδίους ἀπέχουσα οὐκ ἐλάττους πεντακοσίων.

baja, a una distancia no inferior a quinientos estadios[75].

[2,5] ἤδη δὲ πλησίον ἦμεν, καὶ θαυμαστή τις αὔρα περιέπνευσεν ἡμᾶς, ἡδεῖα καὶ εὐώδης, οἵαν φησὶν ὁ συγγραφεὺς Ἡρόδοτος ἀπόζειν τῆς εὐδαίμονος Ἀραβίας. οἷον γὰρ ἀπὸ ῥόδων καὶ ναρκίσσων καὶ ὑακίνθων καὶ κρίνων καὶ ἴων, ἔτι δὲ μυρρίνης καὶ δάφνης καὶ ἀμπελάνθης, τοιοῦτον ἡμῖν τὸ ἡδὺ προσέβαλλεν. ἡσθέντες δὲ τῇ ὀσμῇ καὶ χρηστὰ ἐκ μακρῶν πόνων ἐλπίσαντες κατ᾽ ὀλίγον ἤδη πλησίον τῆς νήσου ἐγινόμεθα. ἔνθα δὴ καὶ καθεωρῶμεν λιμένας τε πολλοὺς περὶ πᾶσαν ἀκλύστους καὶ μεγάλους, ποταμούς τε διαυγεῖς ἐξιέντας ἠρέμα εἰς τὴν θάλατταν, ἔτι δὲ λειμῶνας καὶ ὕλας καὶ ὄρνεα μουσικά, τὰ μὲ ἐπὶ τῶν ἠϊόνων ᾄδοντα, πολλὰ δὲ καὶ ἐπὶ τῶν κλάδων? ἀήρ τε κοῦφος καὶ εὔπνους περιεκέχυτο τὴν χώραν? καὶ αὖραι δέ τινες ἡδεῖαι πνέουσαι ἠρέμα τὴν ὕλην διεσάλευον, ὥστε καὶ ἀπὸ τῶν κλάδων κινουμένων τερπνὰ καὶ συνεχῆ μέλη ἀπεσυρίζετο, ἐοικότα τοῖς ἐπ᾽ ἐρημίας αὐλήμασι τῶν πλαγίων αὐλῶν. καὶ μὴν καὶ βοὴ σύμμικτος ἠκούετο ἄθρους, οὐ θορυβώδης, ἀλλ᾽ οἵα γένοιτ᾽ ἂν ἐν συμποσίῳ, τῶν μὲν αὐλούντων, τῶν δὲ ἐπαινούντων, ἐνίων δὲ κροτούντων πρὸς αὐλὸν ἢ κιθάραν.

5 Ya estábamos cerca, y una brisa encantadora soplaba en nuestro entorno, dulce y fragante cual aquella que, al decir del historiador Heródoto[76], exhala la Arabia feliz. La dulzura que llegaba hasta nosotros asemejábase a la de las rosas, narcisos, jacintos, azucenas y lirios, e incluso al mirto, el laurel y la flor de la vid. Deleitados por el aroma y con buenas esperanzas tras nuestras largas penalidades, arribamos poco después junto a la isla. En ella divisábamos muchos puertos en todo su derredor, amplios y al abrigo de las olas, y ríos cristalinos que vertían suavemente en el mar, y también praderas, bosques y pájaros canoros, cantando unos desde el litoral y muchos desde las ramas. Una atmósfera suave y agradable de respirar se extendía por la región, y dulces brisas de soplo suave agitaban el bosque, de suerte que el movimiento de las ramas silbaba una música deleitosa e incesante, cual las tonadas de flautas pastoriles en la soledad. Al tiempo, percibíase un rumor de voces confusas e incesantes, no perturbador, sino parecido al de una fiesta, en que unos tocan la flauta, otros cantan, y algunos marcan el compás de la flauta o la lira.

[2,6] τούτοις ἅπασι κηλούμενοι κατήχθημεν, ὁρμίσαντες δὲ τὴν ναῦν ἀπεβαίνομεν, τὸν Σκίνθαρον ἐν αὐτῇ καὶ δύο τῶν ἑταίρων ἀπολιπόντες. προϊόντες δὲ διὰ λειμῶνος εὐανθοῦς ἐντυγχάνομεν τοῖς φρουροῖς καὶ περιπόλοις, οἱ δὲ δήσαντες ἡμᾶς ῥοδίνοις στεφάνοις—οὗτος γὰρ μέγιστος παρ᾽ αὐτοῖς δεσμός ἐστιν—ἀνῆγον ὡς τὸν ἄρχοντα, παρ᾽

6 Cautivados por todo ello nos detuvimos y, tras anclar la nave, descendimos, dejando en ella a Escíntaro y dos compañeros. Mientras avanzábamos a través de una pradera florida nos encontramos con los guardianes y patrullas, que nos ataron con coronas de rosas —ésta es, en su país, la más fuerte ligadura— y nos condujeron ante el soberano; de ellos

[75] 88.800 m.

[76] III 113.77

ὧν δὴ καὶ καθ᾽ ὁδὸν ἠκούσαμεν ὡς ἡ μὲν νῆσος εἴη τῶν Μακάρων προσαγορευομένη, ἄρχοι δὲ ὁ Κρὴς Ῥαδάμανθυς. καὶ δὴ ἀναχθέντες ὡς αὐτὸν ἐν τάξει τῶν δικαζομένων ἔστημεν τέταρτοι.

supimos durante el trayecto que la isla se llamaba «de los Dichosos»[77], y gobernaba en ella el cretense Radamantis. Conducidos ya a su presencia, ocupamos el cuarto lugar entre quienes aguardaban juicio.

[2,7] ἦν δὲ ἡ μὲν πρώτη δίκη περὶ Αἴαντος τοῦ Τελαμῶνος, εἴτε χρὴ αὐτὸν συνεῖναι τοῖς ἥρωσιν εἴτε καὶ μή? κατηγορεῖτο δὲ αὐτοῦ ὅτι μεμήνοι καὶ ἑαυτὸν ἀπεκτόνοι. τέλος δὲ πολλῶν ῥηθέντων ἔγνω ὁ Ῥαδάμανθυς, νῦν μὲν αὐτὸν πιόμενον τοῦ ἐλλεβόρου παραδοθῆναι Ἱπποκράτει τῷ Κῴῳ ἰατρῷ, ὕστερον δὲ σωφρονήσαντα μετέχειν τοῦ συμποσίου.

7 La primera causa era la de Ayante, hijo de Telamón, a fin de dirimir si debía integrarse con los héroes o no; era acusado de locura y suicidio: al fin, tras largas peroratas, falló Radamantis que, a la sazón, fuera confiado al médico Hipócrates de Cos para un tratamiento de eléboro[78], y que, más tarde, cuando hubiera recobrado la razón, participara del festín.

[2,8] δευτέρα δὲ ἦν κρίσις ἐρωτική, Θησέως καὶ Μενελάου περὶ τῆς Ἑλένης διαγωνιζομένων, ποτέρῳ χρὴ αὐτὴν συνοικεῖν. καὶ ὁ Ῥαδάμανθυς ἐδίκασε Μενελάῳ συνεῖναι αὐτὴν ἅτε καὶ τοσαῦτα πονήσαντι καὶ κινδυνεύσαντι τοῦ γάμου ἕνεκα? καὶ γὰρ αὖ τῷ Θησεῖ καὶ ἄλλας εἶναι γυναῖκας, τήν τε Ἀμαζόνα καὶ τὰς τοῦ Μίνωος θυγατέρας.

8 La segunda era un litigio amoroso entre Teseo y Menelao, que pleiteaban por Helena, para dirimir quién de ambos debía vivir con ella. Radamantis falló que viviera con Menelao, que tanto había sufrido y arriesgado por su matrimonio, mientras Teseo tenía otras esposas, la Amazona[79] y las hijas de Minos[80].

[2,9] τρίτη δ᾽ ἐδικάσθη περὶ προεδρίας Ἀλεξάνδρῳ τε τῷ Φιλίππου καὶ Ἀννίβᾳ τῷ Καρχηδονίῳ, καὶ ἔδοξε προέχειν ὁ Ἀλέξανδρος, καὶ θρόνος αὐτῷ ἐτέθη παρὰ Κῦρον τὸν Πέρσην τὸν πρότερον.

9 La tercera entendió acerca de la prelación entre Alejandro, hijo de Filipo, y Aníbal, el cartaginés; falló que Alejandro era más importante, y su trono fue colocado junto a Ciro I de Persia[81].

[2,10] τέταρτοι δὲ ἡμεῖς προσήχθημεν? καὶ ὁ μὲν ἤρετο τί παθόντες ἔτι ζῶντες ἱεροῦ χωρίου ἐπιβαίημεν? ἡμεῖς δὲ πάντα ἑξῆς διηγησάμεθα. οὕτω δὴ μεταστησάμενος ἡμᾶς ἐπὶ πολὺν χρόνον ἐσκέπτετο καὶ τοῖς συνέδροις ἐκοινοῦτο περὶ ἡμῶν. συνήδρευον δὲ ἄλλοι τε πολλοὶ καὶ Ἀριστείδης ὁ δίκαιος

10 En cuarto lugar fuimos conducidos nosotros. Él nos preguntó por qué motivo, aún en vida, habíamos penetrado en un recinto sagrado, y nosotros le contamos toda la historia en detalle; nos hizo salir, reflexionó largo rato y consultó con sus consejeros acerca de nosotros (le aconsejaba,

---

[77] Griego *tón Makáron.* El *locus amoenus* del contexto prepara la penetración en el mundo de los muertos dichosos, parte venturosa del Hades.

[78] Remedio de la locura según los antiguos (cf. HORACIO, *Sátiras* II 3 82).

[79] Hipólita.

[80] Ariadna y Fedra.

[81] Cf. *Diálogos de los muertos* XXV.

ὁ Ἀθηναῖος. ὡς δὲ ἔδοξεν αὐτῷ, ἀπεφήναντο, τῆς μὲν φιλοπραγμοσύνης καὶ τῆς ἀποδημίας, ἐπειδὰν ἀποθάνωμεν, δοῦναι τὰς εὐθύνας, τὸ δὲ νῦν ῥητὸν χρόνον μείναντας ἐν τῇ νήσῳ καὶ συνδιαιτηθέντας τοῖς ἥρωσιν ἀπελθεῖν. ἔταξαν δὲ καὶ τὴν προθεσμίαν τῆς ἐπιδημίας μὴ πλέον μηνῶν ἑπτά.

entre otros muchos, Arístides el Justo, de Atenas). Cuando formó un juicio, sentenció que de nuestra intromisión y vagabundeo rendiríamos cuentas después de muertos, mas que al presente permaneciéramos en la isla por un tiempo determinado y que, tras convivir con los héroes, nos marcháramos. Establecieron como plazo de nuestra estancia no más de siete meses.

[2,11] Τοὐντεῦθεν αὐτομάτων ἡμῖν τῶν στεφάνων περιρρυέντων ἐλελύμεθα καὶ εἰς τὴν πόλιν ἠγόμεθα καὶ εἰς τὸ τῶν Μακάρων συμπόσιον. αὐτὴ μὲν οὖν ἡ πόλις πᾶσα χρυσῆ, τὸ δὲ τεῖχος περίκειται σμαράγδινον? πύλαι δέ εἰσιν ἑπτά, πᾶσαι μονόξυλοι κινναμώμινοι? τὸ μέντοι ἔδαφος τῆς πόλεως καὶ ἡ ἐντὸς τοῦ τείχους γῆ ἐλεφαντίνη? ναοὶ δὲ πάντων θεῶν βηρύλλου λίθου ᾠκοδομημένοι, καὶ βωμοὶ ἐν αὐτοῖς μέγιστοι μονόλιθοι ἀμεθύστινοι, ἐφ᾽ ὧν ποιοῦσι τὰς ἑκατόμβας. περὶ δὲ τὴν πόλιν ῥεῖ ποταμὸς μύρου τοῦ καλλίστου, τὸ πλάτος πήχεων ἑκατὸν βασιλικῶν, βάθος δὲ <πέντε> ὥστε νεῖν εὐμαρῶς. λουτρὰ δέ ἐστιν αὐτοῖς οἶκοι μεγάλοι ὑάλινοι, τῷ κινναμώμῳ ἐγκαιόμενοι? ἀντὶ μέντοι τοῦ ὕδατος ἐν ταῖς πυέλοις δρόσος θερμὴ ἔστιν.

11 A partir de aquel instante se desprendieron por sí solas nuestras coronas, con lo que quedamos en libertad, y fuimos introducidos en la ciudad y en el festín de los Dichosos. La ciudad propiamente dicha es toda de oro, y el muro que la circunda de esmeralda. Hay siete puertas, todas de una sola pieza de madera de cinamomo. Los cimientos de la ciudad y el suelo de intramuros es de marfil. Hay templos de todos los dioses, edificados con berilo, y enormes altares en ellos, de una sola piedra de amatista, sobre los cuales realizan sus hecatombes. En torno a la ciudad corre un río de la mirra más excelente, de cien codos regios[82] de ancho y cinco de profundidad, de suerte que puede nadarse en él cómodamente. Por baños tienen grandes casas de cristal, caldeadas con brasas de cinamomo; en vez de agua hay rocío caliente en las bañeras.

[2,12] ἐσθῆτι δὲ χρῶνται ἀραχνίοις λεπτοῖς, πορφυροῖς. αὐτοὶ δὲ σώματα μὲν οὐκ ἔχουσιν, ἀλλ᾽ ἀναφεῖς καὶ ἄσαρκοί εἰσιν, μορφὴν δὲ καὶ ἰδέαν μόνην ἐμφαίνουσιν, καὶ ἀσώματοι ὄντες ὅμως συνεστᾶσιν καὶ κινοῦνται καὶ φρονοῦσι καὶ φωνὴν ἀφιᾶσιν, καὶ ὅλως ἔοικε γυμνή τις ἡ ψυχὴ αὐτῶν περιπολεῖν τὴν τοῦ σώματος ὁμοιότητα περικειμένη? εἰ γοῦν μὴ ἅψαιτό τις, οὐκ ἂν ἐξελέγξειε μὴ εἶναι σῶμα τὸ ὁρώμενον? εἰσὶ γὰρ ὥσπερ σκιαὶ ὀρθαί, οὐ μέλαιναι.

12 Por traje usan tejidos de araña suaves y purpúreos: en realidad, no tienen cuerpos, sino que son intangibles y carentes de carne, y sólo muestran forma y aspecto. Pese a carecer de cuerpo, tienen, sin embargo, consistencia, se mueven, piensan y hablan: en una palabra, parece que sus almas desnudas vagan envueltas en la semejanza de sus cuerpos; por eso, de no tocarlos, nadie afirmaría no ser un cuerpo lo que ve, pues son cual sombras erguidas, no negras. Nadie

[82] El codo tiene 0,444 m.

γηράσκει δὲ οὐδείς, ἀλλ΄ ἐφ΄ ἧς ἂν ἡλικίας ἔλθῃ παραμένει. οὐ μὴν οὐδὲ νὺξ παρ΄ αὐτοῖς γίνεται, οὐδὲ ἡμέρα πάνυ λαμπρά? καθάπερ δὲ τὸ λυκαυγὲς ἤδη πρὸς ἕω, μηδέπω ἀνατείλαντος ἡλίου, τοιοῦτο φῶς ἐπέχει τὴν γῆν. καὶ μέντοι καὶ ὥραν μίαν ἴσασιν τοῦ ἔτους? αἰεὶ γὰρ παρ΄ αὐτοῖς ἔαρ ἐστὶ καὶ εἷς ἄνεμος πνεῖ παρ΄ αὐτοῖς ὁ ζέφυρος.

envejece, sino que permanece en la edad en que llega. Además, no existe la noche entre ellos, ni tampoco el día muy brillante: como la penumbra que precede a la aurora cuando aún no ha salido el sol, así es la luz que se extiende sobre el país. Asimismo, sólo conocen una estación del año, ya que siempre es primavera, y un único viento sopla allí, el céfiro[83].

[2,13] ἡ δὲ χώρα πᾶσι μὲν ἄνθεσιν, πᾶσι δὲ φυτοῖς ἡμέροις τε καὶ σκιεροῖς τέθληλεν? αἱ μὲν γὰρ ἄμπελοι δωδεκάφοροί εἰσιν καὶ κατὰ μῆνα ἕκαστον καρποφοροῦσιν? τὰς δὲ ῥοιὰς καὶ τὰς μηλέας καὶ τὴν ἄλλην ὀπώραν ἔλεγον εἶναι τρισκαιδεκάφορον? ἑνὸς γὰρ μηνὸς τοῦ παρ΄ αὐτοῖς Μινῴου δὶς καρποφορεῖν? ἀντὶ δὲ πυροῦ οἱ στάχυες ἄρτον ἕτοιμον ἐπ΄ ἄκρων φύουσιν ὥσπερ μύκητας. πηγαὶ δὲ περὶ τὴν πόλιν ὕδατος μὲν πέντε καὶ ἑξήκοντα καὶ τριακόσιαι, μέλιτος δὲ ἄλλαι τοσαῦται, μύρου δὲ πεντακόσιαι, μικρότεραι μέντοι αὗται, καὶ ποταμοὶ γάλακτος ἑπτὰ καὶ οἴνου ὀκτώ.

13 El país posee toda especie de flores y plantas cultivadas y silvestres[84]. Las vides dan doce cosechas al año y vendimian cada mes; en cuanto a los granados, manzanos y otros árboles frutales, decían que producían trece cosechas, ya que durante un mes —el «minoico» de su calendario— dan fruto dos veces. En vez de granos de trigo, las espigas producen pan apto para el consumo en sus ápices, como setas. En los alrededores de la ciudad hay trescientas sesenta y cinco fuentes de agua y otras tantas de miel, quinientas de mirra —si bien éstas son más pequeñas—, siete ríos de leche y ocho de vino.

[2,14] Τὸ δὲ συμπόσιον ἔξω τῆς πόλεως πεποίηνται ἐν τῷ Ἠλυσίῳ καλουμένῳ πεδίῳ? λειμὼν δέ ἐστιν κάλλιστος καὶ περὶ αὐτὸν ὕλη παντοία πυκνή, ἐπισκιάζουσα τοὺς κατακειμένους. καὶ στρωμνὴν μὲν ἐκ τῶν ἀνθῶν ὑποβέβληνται, διακονοῦνται δὲ καὶ παραφέρουσιν ἕκαστα οἱ ἄνεμοι πλήν γε τοῦ οἰνοχοεῖν? τούτου γὰρ οὐδὲν δέονται, ἀλλ΄ ἔστι δένδρα περὶ τὸ συμπόσιον ὑάλινα μεγάλα τῆς διαυγεστάτης ὑάλου, καὶ καρπός ἐστι τῶν δένδρων τούτων ποτήρια παντοῖα καὶ τὰς κατασκευὰς καὶ τὰ μεγέθη. ἐπειδὰν οὖν παρίῃ τις ἐς τὸ συμπόσιον, τρυγήσας ἓν ἢ καὶ δύο τῶν ἐκπωμάτων

14 El festín lo celebran fuera de la ciudad, en la llanura llamada Elisio[85], un prado bellísimo, rodeado de un espeso bosque de variadas especies, que brinda su sombra a quienes en él se recuestan. Sus lechos están formados de flores, y les sirven y asisten en todo los vientos, excepto en escanciar vino: ello no es necesario, ya que hay en torno a las mesas grandes árboles del más transparente cristal, cuyo fruto son copas de todas las formas y dimensiones; cuando uno llega al festín, arranca una o dos copas y las pone a su lado, y éstas se llenan al punto de vino. Así beben y, en vez de coronas, los

[83] Viento templado de Occidente.

[84] Juego de palabras. *Hēmeros* «cultivados» se relaciona con hēméra «claridad», y, en contraposición, *skierōs* «sombrío» pasa a significar «silvestre» en este contexto, con intención burlesca. El mundo de los muertos se caracteriza por estar envuelto en tinieblas.

[85] Cf. *Odisea* IV 561.

παρατίθεται, τὰ δὲ αὐτίκα οἴνου πλήρη γίνεται. οὕτω μὲν πίνουσιν, ἀντὶ δὲ τῶν στεφάνων αἱ ἀηδόνες καὶ τὰ ἄλλα τὰ μουσικὰ ὄρνεα ἐκ τῶν πλησίον λειμώνων τοῖς στόμασιν ἀνθολογοῦντα κατανίφει αὐτοὺς μετ᾽ ᾠδῆς ὑπερπετόμενα. καὶ μὴν καὶ μυρίζονται ὧδε? νεφέλαι πυκναὶ ἀνασπάσασαι μύρον ἐκ τῶν πηγῶν καὶ τοῦ ποταμοῦ καὶ ἐπιστᾶσαι ὑπὲρ τὸ συμπόσιον ἠρέμα τῶν ἀνέμων ὑποθλιβόντων ὕουσι λεπτὸν ὥσπερ δρόσον.

ruiseñores y demás pájaros canoros recogen en sus picos flores de los prados vecinos, que expanden cual una nevada sobre ellos mientras revolotean cantando. Y éste es su modo de perfumarse: espesas nubes extraen mirra de las fuentes y el río, se posan sobre el festín bajo una suave presión de los vientos, y desprenden lluvia suave como rocío.

[2,15] Ἐπὶ δὲ τῷ δείπνῳ μουσικῇ τε καὶ ᾠδαῖς σχολάζουσιν? ᾄδεται δὲ αὐτοῖς τὰ Ὁμήρου ἔπη μάλιστα? καὶ αὐτὸς δὲ πάρεστι καὶ συνευωχεῖται αὐτοῖς ὑπὲρ τὸν Ὀδυσσέα κατακείμενος. οἱ μὲν οὖν χοροὶ ἐκ παίδων εἰσὶν καὶ παρθένων? ἐξάρχουσι δὲ καὶ συνᾴδουσιν Εὔνομός τε ὁ Λοκρὸς καὶ Ἀρίων ὁ Λέσβιος καὶ Ἀνακρέων καὶ Στησίχορος? καὶ γὰρ τοῦτον παρ᾽ αὐτοῖς ἐθεασάμην, ἤδη τῆς Ἑλένης αὐτῷ διηλλαγμένης. ἐπειδὰν δὲ οὗτοι παύσωνται ᾄδοντες, δεύτερος χορὸς παρέρχεται ἐκ κύκνων καὶ χελιδόνων καὶ ἀηδόνων. ἐπειδὰν δὲ καὶ οὗτοι ᾄσωσιν, τότε ἤδη πᾶσα ἡ ὕλη ἐπαυλεῖ τῶν ἀνέμων καταρχόντων.

15 Durante la comida se deleitan con poesía y cantos. Suelen cantar los versos épicos de Homero, que asiste en persona y se suma con ellos a la fiesta, reclinado en lugar superior al de Ulises. Los coros son de jóvenes y doncellas, dirigidos y acompañados en el canto por Éunomo de Lócride, Arión de Lesbos, Anacreonte y Estesicoro. También a este último vi entre ellos, pues Helena ya se había reconciliado con él[86]. Cuando éstos cesan de cantar, aparece un segundo coro de cisnes, golondrinas y ruiseñores, y cuando canta todo el bosque lo acompaña, dirigido por los vientos.

[2,16] μέγιστον δὲ δὴ πρὸς εὐφροσύνην ἐκεῖνο ἔχουσιν? πηγαί εἰσι δύο παρὰ τὸ συμπόσιον, ἡ μὲν γέλωτος, ἡ δὲ ἡδονῆς? ἐκ τούτων ἑκατέρας πάντες ἐν ἀρχῇ τῆς εὐωχίας πίνουσιν καὶ τὸ λοιπὸν ἡδόμενοι καὶ γελῶντες διάγουσιν.

16 Pero el mayor goce lo obtienen de las dos fuentes que hay junto a las mesas, la de la risa y la del placer. De ambas beben todos al comienzo de la fiesta, y a partir de ese momento permanecen gozosos y risueños.

[2,17] Βούλομαι δὲ εἰπεῖν καὶ τῶν ἐπισήμων οὕστινας παρ᾽ αὐτοῖς ἐθεασάμην? πάντας μὲν τοὺς ἡμιθέους καὶ τοὺς ἐπὶ Ἴλιον στρατεύσαντας πλήν γε δὴ τοῦ Λοκροῦ Αἴαντος, ἐκεῖνον δὲ μόνον ἔφασκον ἐν τῷ τῶν ἀσεβῶν χώρῳ κολάζεσθαι, βαρβάρων

17 Quiero hablar ahora de los hombres famosos que allí vi. Se hallaban todos los semidioses y cuantos combatieron en Troya, excepto Ayante de Lócride, el único que, según decían, era castigado en el lugar de los impíos[87]. De los bárbaros estaban los dos

[86] Según la leyenda, Estesícoro atacó a Helena en sus versos, por lo que sus hermanos los Dioscuros lo cegaron; tras retractarse en su *Palinodia* (cf. PLATÓN, *Fedro* 243), recobró la vista y se reconcilió con ella.
[87] Por haber forzado a Casandra.

δὲ Κύρους τε ἀμφοτέρους καὶ τὸν Σκύθην Ἀνάχαρσιν καὶ τὸν Θρᾷκα Ζάμολξιν καὶ Νομᾶν τὸν Ἰταλιώτην, καὶ μὴν καὶ Λυκοῦργον τὸν Λακεδαιμόνιον καὶ Φωκίωνα καὶ Τέλλον τοὺς Ἀθηναίους, καὶ τοὺς σοφοὺς ἄνευ Περιάνδρου. εἶδον δὲ καὶ Σωκράτη τὸν Σωφρονίσκου ἀδολεσχοῦντα μετὰ Νέστορος καὶ Παλαμήδους? περὶ δὲ αὐτὸν ἦσαν Ὑάκινθός τε ὁ Λακεδαιμόνιος καὶ ὁ Θεσπιεὺς Νάρκισσος καὶ Ὕλας καὶ ἄλλοι καλοί. καί μοι ἐδόκει ἐρᾶν τοῦ Ὑακίνθου? τὰ πολλὰ γοῦν ἐκεῖνον διήλεγχεν. ἐλέγετο δὲ χαλεπαίνειν αὐτῷ ὁ Ῥαδάμανθυς καὶ ἠπειληκέναι πολλάκις ἐκβαλεῖν αὐτὸν ἐκ τῆς νήσου, ἢν φλυαρῇ καὶ μὴ ἐθέλῃ ἀφεὶς τὴν εἰρωνείαν εὐωχεῖσθαι. Πλάτων δὲ μόνος οὐ παρῆν, ἀλλ΄ ἐλέγετο καὶ αὐτὸς ἐν τῇ ἀναπλασθείσῃ ὑπ΄ αὐτοῦ πόλει οἰκεῖν χρώμενος τῇ πολιτείᾳ καὶ τοῖς νόμοις οἷς συνέγραψεν.

Ciros, el escita Anacarsis, el tracio Zamolxis y Numa el italiano. También estaban Licurgo el espartano, Foción y Telo de Atenas, y todos los sabios, excepto Periandro. Vi también a Sócrates, hijo de Sofronisco, charlando con Néstor y Palamedes; en torno suyo estaban Jacinto de Esparta, Narciso de Tespias, Hilas, y otros jóvenes hermosos. A mi parecer, tenía amores con Jacinto, pues era a él a quien más frecuentemente refutaba. Decíase que Radamantis estaba enojado con él, y le había amenazado reiteradamente con expulsarlo de la isla, si proseguía con sus charlas y se negaba a deponer su ironía y ser feliz. Tan sólo Platón no estaba allí, pues decían que habitaba en la ciudad que él mismo había imaginado, disfrutando de la constitución y las leyes que redactara.

[2,18] οἱ μέντοι ἀμφ΄ Ἀρίστιππόν τε ὄντες Ἐπίκουρον τὰ πρῶτα παρ΄ αὐτοῖς ἐφέροντο ἡδεῖς τε ὄντες καὶ κεχαρισμένοι καὶ συμποτικώτατοι. παρῆν δὲ καὶ Αἴσωπος ὁ Φρύξ? τούτῳ δὲ ὅσα καὶ γελωτοποιῷ χρῶνται. Διογένης μέν γε ὁ Σινωπεὺς τοσοῦτον μετέβαλεν τοῦ τρόπου, ὥστε γῆμαι μὲν ἑταίραν τὴν Λαΐδα, ὀρχεῖσθαι δὲ πολλάκις ὑπὸ μέθης ἀνιστάμενον καὶ παροινεῖν. τῶν δὲ Στωϊκῶν οὐδεὶς παρῆν? ἔτι γὰρ ἐλέγοντο ἀναβαίνειν τὸν τῆς ἀρετῆς ὄρθιον λόφον. ἠκούομεν δὲ καὶ περὶ Χρυσίππου ὅτι οὐ πρότερον αὐτῷ ἐπιβῆναι τῆς νήσου θέμις, πρὶν τὸ τέταρτον ἑαυτὸν ἐλλεβορίσῃ. τοὺς δὲ Ἀκαδημαϊκοὺς ἔλεγον ἐθέλειν μὲν ἐλθεῖν, ἐπέχειν δὲ ἔτι καὶ διασκέπτεσθαι? μηδὲ γὰρ αὐτὸ τοῦτό πω καταλαμβάνειν, εἰ καὶ νῆσός τις τοιαύτη ἐστίν. ἄλλως τε τὴν ἐπὶ τοῦ Ῥαδαμάνθυος, οἶμαι, κρίσιν ἐδεδοίκεσαν, ἅτε καὶ τὸ κριτήριον αὐτοὶ ἀνῃρηκότες. πολλοὺς δὲ

18 Los seguidores de Aristipo y Epicuro ocupaban allí un lugar privilegiado, por ser dulces y agradables y resultar los mejores compañeros de festín. Estaba también Esopo el frigio, al que emplean como bufón; en cuanto a Diógenes de Sinope, había cambiado tanto de carácter, que se había casado con Lais, la cortesana, y además muchas veces, por efecto de la bebida, bailaba puesto en pie y gastaba bromas de borracho. No había allí ningún estoico, pues decíase que ya habían ascendido a la escarpada colina de la virtud; nos enteramos de que a Crisipo no se le había permitido acceder a la isla hasta que se sometió por cuarta vez a la cura del eléboro[88]. Respecto de los académicos contábase que querían ir, mas aún permanecían deliberando, dado que aún no habían llegado a concluir si semejante isla existe. Por lo demás, creo entender que temían el juicio de Radamantis, dado que

[88] Cf. nota 13.

αὐτῶν ἔφασκον ὁρμηθέντας ἀκολουθεῖν τοῖς ἀφικνουμένοις ὑπὸ νωθείας ἀπολείπεσθαι μὴ καταλαμβάνοντας καὶ ἀναστρέφειν ἐκ μέσης τῆς ὁδοῦ.

ellos habían invalidado el criterio de certeza. Contábase que muchos de ellos habían iniciado la marcha siguiendo a quienes allí se dirigían, pero quedaron rezagados por su lentitud, al ser incapaces de alcanzar nada, y se volvieron a medio camino.

[2,19] Οὗτοι μὲν οὖν ἦσαν οἱ ἀξιολογώτατοι τῶν παρόντων. τιμῶσι δὲ μάλιστα τὸν Ἀχιλλέα καὶ μετὰ τοῦτον Θησέα. περὶ δὲ συνουσίας καὶ ἀφροδισίων οὕτω φρονοῦσιν? μίσγονται μὲν ἀναφανδὸν πάντων ὁρώντων καὶ γυναιξὶ καὶ ἄρρεσι, καὶ οὐδαμῶς τοῦτο αὐτοῖς αἰσχρὸν δοκεῖ? μόνος δὲ Σωκράτης διώμνυτο ἢ μὴν καθαρῶς πλησιάζειν τοῖς νέοις? καὶ μέντοι πάντες αὐτοῦ ἐπιορκεῖν κατεγίνωσκον? πολλάκις γοῦν ὁ μὲν Ὑάκινθος ἢ ὁ Νάρκισσος ὡμολόγουν, ἐκεῖνος δὲ ἠρνεῖτο. αἱ δὲ γυναῖκές εἰσι πᾶσι κοιναὶ καὶ οὐδεὶς φθονεῖ τῷ πλησίον, ἀλλ΄ εἰσὶ περὶ τοῦτο μάλιστα Πλατωνικώτατοι? καὶ οἱ παῖδες δὲ παρέχουσι τοῖς βουλομένοις οὐδὲν ἀντιλέγοντες.

19 Éstos eran los más destacados de allí. Honran sobremanera a Aquiles, y en segundo lugar a Teseo. En cuanto a la práctica del amor, mantienen el criterio de unirse abiertamente a la vista de todos, tanto con mujeres como con hombres, y en modo alguno ello les parece vergonzoso. Tan sólo Sócrates se deshacía en juramentos, asegurando que sus relaciones con los jóvenes eran puras, más todos le acusaban de perjurio, ya que con frecuencia el propio Jacinto o Narciso habían confesado, mientras él lo negaba. Las mujeres son todas de la comunidad y nadie siente celos de su vecino: en eso son superplatónicos. En cuanto a los jóvenes, se ofrecen a quienes los solicitan sin oponer resistencia.

[2,20] Οὔπω δὲ δύο ἢ τρεῖς ἡμέραι διεληλύθεσαν, καὶ προσελθὼν ἐγὼ Ὁμήρῳ τῷ ποιητῇ, σχολῆς οὔσης ἀμφοῖν, τά τε ἄλλα ἐπυνθανόμην καὶ ὅθεν εἴη, λέγων τοῦτο μάλιστα παρ΄ ἡμῖν εἰσέτι νῦν ζητεῖσθαι. ὁ δὲ οὐδ΄ αὐτὸς μὲν ἀγνοεῖν ἔφασκεν ὡς οἱ μὲν Χῖον, οἱ δὲ Σμυρναῖον, πολλοὶ δὲ Κολοφώνιον αὐτὸν νομίζουσιν? εἶναι μέντοι γε ἔλεγεν Βαβυλώνιος, καὶ παρά γε τοῖς πολίταις οὐχ Ὅμηρος, ἀλλὰ Τιγράνης καλεῖσθαι? ὕστερον δὲ ὁμηρεύσας παρὰ τοῖς Ἕλλησιν ἀλλάξαι τὴν προσηγορίαν. ἔτι δὲ καὶ περὶ τῶν ἀθετουμένων στίχων ἐπηρώτων, εἰ ὑπ΄ ἐκείνου εἰσὶ γεγραμμένοι. καὶ ὃς ἔφασκε πάντας αὑτοῦ εἶναι. κατεγίνωσκον οὖν τῶν ἀμφὶ τὸν Ζηνόδοτον καὶ Ἀρίσταρχον γραμματικῶν πολλὴν τὴν ψυχρολογίαν. ἐπεὶ δὲ ταῦτα ἱκανῶς ἀπεκέκριτο, πάλιν

20 Aún no habían transcurrido dos o tres días cuando me acerqué a Homero, el poeta, estando ambos ociosos, y le pregunté, entre otras cosas, de dónde era, pues esto es lo que más se investiga todavía hoy entre nosotros. Respondióme no ignorar que unos le creían de Quíos, otros de Esmirna, y muchos de Colofón, pero afirmó ser babilonio, y llamarse entre sus compatriotas no Homero, sino Tigranes: más tarde, al ser rehén en la Hélade, cambió de nombre. En cuanto a los versos rechazados como espurios, le pregunté si habían sido escritos por él, y me aseguró que todos eran suyos; condenaba, por tanto, la gran necedad de los gramáticos Zenódoto y y Aristarco. Cuando me hubo contestado suficientemente, volví a preguntarle por qué comenzó tratando de la «cólera», y él repuso que así se le ocurrió, sin

αὐτὸν ἠρώτων τί δή ποτε ἀπὸ τῆς μήνιδος τὴν ἀρχὴν ἐποιήσατο? καὶ ὃς εἶπεν οὕτως ἐπελθεῖν αὐτῷ μηδὲν ἐπιτηδεύσαντι. καὶ μὴν κἀκεῖνο ἐπεθύμουν εἰδέναι, εἰ προτέραν ἔγραψεν τὴν Ὀδύσσειαν τῆς Ἰλιάδος, ὡς οἱ πολλοί φασιν? ὁ δὲ ἠρνεῖτο. ὅτι μὲν γὰρ οὐδὲ τυφλὸς ἦν, ὃ καὶ αὐτὸ περὶ αὐτοῦ λέγουσιν, αὐτίκα ἠπιστάμην? ἑώρα γάρ, ὥστε οὐδὲ πυνθάνεσθαι ἐδεόμην. πολλάκις δὲ καὶ ἄλλοτε τοῦτο ἐποίουν, εἴ ποτε αὐτὸν σχολὴν ἄγοντα ἑώρων? προσιὼν γὰρ ἄν τι ἐπυνθανόμην αὐτοῦ, καὶ ὃς προθύμως πάντα ἀπεκρίνετο, καὶ μάλιστα μετὰ τὴν δίκην, ἐπειδὴ ἐκράτησεν? ἦν γάρ τις γραφὴ κατ᾽ αὐτοῦ ἀπενηνεγμένη ὕβρεως ὑπὸ Θερσίτου ἐφ᾽ οἷς αὐτὸν ἐν τῇ ποιήσει ἔσκωψεν, καὶ ἐνίκησεν ὁ Ὅμηρος Ὀδυσσέως συναγορεύοντος.

intención alguna. También deseaba saber si había escrito la *Odisea* antes que la *Ilíada,* como muchos sostienen, pero dijo que no. Supe también en seguida que no era ciego, como suele decirse: veía, de modo que no tuve necesidad de preguntarle. Muchas veces, en ocasiones posteriores, hice lo mismo, cuando lo veía inactivo: me acercaba y le hacía preguntas, y él me contestaba amablemente a todo, en especial después de ganar el proceso; pues había una querella contra él por injurias, presentada por Tersites, en base a las burlas que le gastó en el poema, y venció Homero, con Ulises como defensor.

[2,21] Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους ἀφίκετο καὶ Πυθαγόρας ὁ Σάμιος ἑπτάκις ἀλλαγεὶς καὶ ἐν τοσούτοις ζῴοις βιοτεύσας καὶ ἐκτελέσας τῆς ψυχῆς τὰς περιόδους. ἦν δὲ χρυσοῦς ὅλον τὸ δεξιὸν ἡμίτομον. καὶ ἐκρίθη μὲν συμπολιτεύσασθαι αὐτοῖς, ἐνεδοιάζετο δὲ ἔτι πότερον Πυθαγόραν ἢ Εὔφορβον χρὴ αὐτὸν ὀνομάζειν. ὁ μέντοι Ἐμπεδοκλῆς ἦλθεν μὲν καὶ αὐτός, περίεφθος καὶ τὸ σῶμα ὅλον ὠπτημένος? οὐ μὴν παρεδέχθη καίτοι πολλὰ ἱκετεύων.

21 Por aquel entonces llegó también Pitágoras de Samos[89], que había conocido siete reencarnacions y vivido en otros tantos cuerpos, tras concluir las transmigraciones de su alma. Era de oro toda su mitad derecha. Se le juzgó digno de compartir la ciudadanía con aquéllos, pero aún seguía discutiéndose si debía llamársele Pitágoras o Euforbo. Empédocles también acudió, lleno de quemaduras y todo el cuerpo asado[90], pero no fue admitido pese a sus muchas súplicas.

[2,22] Προϊόντος δὲ τοῦ χρόνου ἐνέστη ὁ ἀγὼν ὁ παρ᾽ αὐτοῖς, τὰ Θανατούσια. ἠγωνοθέτει δὲ Ἀχιλλεὺς τὸ πέμπτον καὶ Θησεὺς τὸ ἕβδομον. τὰ μὲν οὖν ἄλλα μακρὸν ἂν εἴη λέγειν? τὰ δὲ κεφάλαια τῶν πραχθέντων διηγήσομαι. πάλην μὲν ἐνίκησεν Κάρανος ὁ ἀφ᾽ Ἡρακλέους Ὀδυσσέα περὶ τοῦ στεφάνου καταγωνισάμενος? πυγμὴ δὲ ἴση ἐγένετο Ἀρείου τοῦ Αἰγυπτίου, ὃς ἐν Κορίνθῳ

22 Con el tiempo llegaron los juegos del lugar, los Mortuorios[91]. Los presidían Aquiles, por quinta vez, y Teseo, por séptima. Los pormenores serían largos de contar, por lo que me referiré a los hechos más importantes. En la lucha venció Cárano, el descendiente de Heracles, tras combatir con Ulises por la corona; resolvióse en empate el pugilato entre Areo el egipcio, que está enterrado en Corinto, y Epeo; no hay allí

[89] Cf. *El Sueño o El Gallo.*

[90] Por su suicidio al arrojarse al Etna.

[91] Gr. *Thanatoúsia,* parodia. *Thánatos* = «muerte».

τέθαπται, καὶ Ἐπειοῦ ἀλλήλοις συνελθόντων. παγκρατίου δὲ οὐ τίθεται ἆθλα παρ᾽ αὐτοῖς. τὸν μέντοι δρόμον οὐκέτι μέμνημαι ὅστις ἐνίκησεν. ποιητῶν δὲ τῇ μὲν ἀληθείᾳ παρὰ πολὺ ἐκράτει Ὅμηρος, ἐνίκησεν δὲ ὅμως Ἡσίοδος. τὰ δὲ ἆθλα ἦν ἅπασι στέφανος πλακεὶς ἐκ πτερῶν ταωνείων.

premio para el pancracio; en cuanto a la carrera, no recuerdo quién ganó; de entre los poetas, Homero fue, con mucho, el mejor, pero ganó Hesíodo[92]. Los premios eran siempre una corona trenzada con plumas de pavo real.

[2,23] Ἄρτι δὲ τοῦ ἀγῶνος συντετελεσμένου ἠγγέλλοντο οἱ ἐν τῷ χώρῳ τῶν ἀσεβῶν κολαζόμενοι ἀπορρήξαντες τὰ δεσμὰ καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες ἐλαύνειν ἐπὶ τὴν νῆσον? ἡγεῖσθαι δὲ αὐτῶν Φάλαρίν τε τὸν Ἀκραγαντῖνον καὶ Βούσιριν τὸν Αἰγύπτιον καὶ Διομήδη τὸν Θρᾷκα καὶ τοὺς περὶ Σκείρωνα καὶ Πιτυοκάμπτην. ὡς δὲ ταῦτα ἤκουσεν ὁ Ῥαδάμανθυς, ἐκτάσσει τοὺς ἥρωας ἐπὶ τῆς ἠϊόνος? ἡγεῖτο δὲ Θησεύς τε καὶ Ἀχιλλεὺς καὶ Αἴας ὁ Τελαμώνιος ἤδη σωφρονῶν? καὶ συμμίξαντες ἐμάχοντο, καὶ ἐνίκησαν οἱ ἥρωες, Ἀχιλλέως τὰ πλεῖστα κατορθώσαντος. ἠρίστευσε δὲ καὶ Σωκράτης ἐπὶ τῷ δεξιῷ ταχθείς, πολὺ μᾶλλον ἢ ὅτε ζῶν ἐπὶ Δηλίῳ ἐμάχετο. προσιόντων γὰρ τεττάρων πολεμίων οὐκ ἔφυγε καὶ τὸ πρόσωπον ἄτρεπτος ἦν? ἐφ᾽ οἷς καὶ ὕστερον ἐξῃρέθη αὐτῷ ἀριστεῖον, καλός τε καὶ μέγας παράδεισος ἐν τῷ προαστείῳ, ἔνθα καὶ συγκαλῶν τοὺς ἑταίρους διελέγετο, Νεκρακαδημίαν τὸν τόπον προσαγορεύσας.

23 Apenas habían concluido los juegos, llegó la noticia de que los condenados en el territorio de los impíos habían roto sus cadenas y derrotado a sus guardianes, y se dirigían contra la isla; los capitaneaba Fálaris de Acragante, Busiris el egipcio, Diomedes el tracio, Escirón y Pitiocamptes. Cuando Radamantis tuvo noticia de ello, colocó a sus héroes en la playa. Los capitaneaban Teseo, Aquiles y Ayante, hijo de Telamón, que ya había recobrado la cordura. Trabaron combate y vencieron los héroes, gracias a Aquiles sobre todo, pero destacó también Sócrates, colocado en el ala derecha, mucho más que cuando en vida combatiera en Delio, pues cuando cuatro enemigos fueron contra él no huyó ni alteró su semblante. Por ello, le fue concedida después una recompensa, un hermoso y amplio jardín en los alrededores de la ciudad, donde reunía a sus compañeros para conversar, que él llamaba la Academia de los muertos[93].

[2,24] συλλαβόντες οὖν τοὺς νενικημένους καὶ δήσαντες ἀπέπεμψαν ἔτι μᾶλλον κολασθησομένους. ἔγραψεν δὲ καὶ ταύτην τὴν μάχην Ὅμηρος καὶ ἀπιόντι μοι ἔδωκεν τὰ βιβλία κομίζειν τοῖς παρ᾽ ἡμῖν ἀνθρώποις? ἀλλ᾽ ὕστερον καὶ ταῦτα μετὰ τῶν ἄλλων ἀπωλέσαμεν. ἦν δὲ ἡ ἀρχὴ τοῦ ποιήματος αὕτη,

24 Capturaron a los vencidos, les encadenaron y devolvieron para sufrir aún mayores castigos. Describió esta batalla. Homero y, al marcharme, me dio el manuscrito para que lo transmitiera a los hombres de nuestro mundo, pero más tarde lo perdí con todo lo demás. El comienzo del poema decía así:

---

[92] Recuerdo del legendario certamen de Calcis de Eubea, en que venció Hesíodo a Homero por ser cantor de la paz.

[93] Griego *Nekrakademía.*

Νῦν δέ μοι ἔννεπε, Μοῦσα, μάχην νεκύων ἡρώων.

Ahora cántame, Musa, la batalla de los héroes del Hades.

τότε δ΄ οὖν κυάμους ἐψήσαντες, ὥσπερ παρ΄ αὐτοῖς νόμος ἐπειδὰν τὸν πόλεμον κατορθώσωσιν, εἱστιῶντο τὰ ἐπινίκια καὶ ἑορτὴν μεγάλην ἦγον? μόνος δὲ αὐτῆς οὐ μετεῖχε Πυθαγόρας, ἀλλ΄ ἄσιτος πόρρω ἐκαθέζετο μυσαττόμενος τὴν κυαμοφαγίαν.

A la sazón cocieron habas[94], como es costumbre allí cuando ganan la guerra, y celebraron la victoria con una gran fiesta. Sólo Pitágoras no tomó parte en ella, y se sentó aparte, sin probar bocado, ya que sentía aversión hacia las habas.

[2,25] Ἤδη δὲ μηνῶν ἓξ διεληλυθότων περὶ μεσοῦντα τὸν ἕβδομον νεώτερα συνίστατο πράγματα? Κινύρας ὁ τοῦ Σκινθάρου παῖς, μέγας ὢν καὶ καλός, ἤρα πολὺν ἤδη χρόνον τῆς Ἑλένης, καὶ αὐτὴ δὲ οὐκ ἀφανὴς ἦν ἐπιμανῶς ἀγαπῶσα τὸν νεανίσκον? πολλάκις γοῦν καὶ διένευον ἀλλήλοις ἐν τῷ συμποσίῳ καὶ προὔπινον καὶ μόνοι ἐξανιστάμενοι ἐπλανῶντο περὶ τὴν ὕλην. καὶ δή ποτε ὑπ΄ ἔρωτος καὶ ἀμηχανίας ἐβουλεύσατο ὁ Κινύρας ἁρπάσας τὴν Ἑλένην—ἐδόκει δὲ κἀκείνῃ ταῦτα—οἴχεσθαι ἀπιόντας ἔς τινα τῶν ἐπικειμένων νήσων, ἤτοι ἐς τὴν Φελλὼ ἢ ἐς τὴν Τυρόεσσαν. συνωμότας δὲ πάλαι προσειλήφεσαν τρεῖς τῶν ἑταίρων τῶν ἐμῶν τοὺς θρασυτάτους. τῷ μέντοι πατρὶ οὐκ ἐμήνυσε ταῦτα? ἠπίστατο γὰρ ὑπ΄ αὐτοῦ κωλυθησόμενος. ὡς δὲ ἐδόκει αὐτοῖς, ἐτέλουν τὴν ἐπιβουλήν. καὶ ἐπειδὴ νὺξ ἐγένετο—ἐγὼ μὲν οὐ παρήμην? ἐτύγχανον γὰρ ἐν τῷ συμποσίῳ κοιμώμενος—οἱ δὲ λαθόντες τοὺς ἄλλους ἀναλαβόντες τὴν Ἑλένην ὑπὸ σπουδῆς ἀνήχθησαν.

25 Habían ya transcurrido seis meses y estábamos a mediados del séptimo cuando estalló un conflicto: Cíniras, el hijo de Escíntaro, joven esbelto y atractivo, amaba desde tiempo atrás a Helena, y ésta no ocultaba su loca pasión por el joven; así, muchas veces se dirigían ambos señales en el banquete, se ofrecían brindis, se levantaban y paseaban solos por el bosque. Un día, impulsado por el amor y las dificultades, decidió Cíniras raptar a Helena, con la conformidad de ésta, y huir a una de las islas próximas, a Corcho o Quesia. Como cómplices habían elegido tiempo atrás a tres compañeros míos, los más audaces, pero a su padre no le confió su propósito, pues sabía que se lo hubiera impedido. Como lo habían decidido consumaron su plan: cuando llegó la noche, en mi ausencia, mientras me hallaba adormilado en el banquete, ellos se apoderaron de Helena sin ser vistos y rápidamente la embarcaron.

[2,26] περὶ δὲ τὸ μεσονύκτιον ἀνεγρόμενος ὁ Μενέλαος ἐπεὶ ἔμαθεν τὴν εὐνὴν κενὴν τῆς γυναικός, βοήν τε ἠφίει καὶ τὸν ἀδελφὸν παραλαβὼν ἦλθε πρὸς τὸν βασιλέα τὸν Ῥαδάμανθυν. ἡμέρας δὲ ὑποφαινούσης ἔλεγον οἱ σκοποὶ καθορᾶν τὴν ναῦν πολὺ

26 A medianoche se despertó Menelao y, al percatarse de que su mujer no estaba en el lecho, comenzó a dar voces, buscó a su hermano y se presentó ante el rey Radamantis. Al romper el día dijeron los atalayas que divisaban la nave a gran

[94] Alusión a la fiesta ateniense de las Pianepsias, en honor de Apolo, en la que se comía cocido de habas y otras legumbres.

ἀπέχουσαν? οὕτω δὴ ἐμβιβάσας ὁ Ῥαδάμανθυς πεντήκοντα τῶν ἡρώων εἰς ναῦν μονόξυλον ἀσφοδελίνην παρήγγειλε διώκειν? οἱ δὲ ὑπὸ προθυμίας ἐλαύνοντες περὶ μεσημβρίαν καταλαμβάνουσιν αὐτοὺς ἄρτι ἐς τὸν γαλακτώδη τοῦ ὠκεανοῦ τόπον ἐμβαίνοντας πλησίον τῆς Τυροέσσης? παρὰ τοσοῦτον ἦλθον διαδρᾶναι? καὶ ἀναδησάμενοι τὴν ναῦν ἁλύσει ῥοδίνῃ κατέπλεον. ἡ μὲν οὖν Ἑλένη ἐδάκρυέν τε καὶ ἠσχύνετο καὶ ἐνεκαλύπτετο, τοὺς δὲ ἀμφὶ τὸν Κινύραν ἀνακρίνας πρότερον ὁ Ῥαδάμανθυς, εἴ τινες καὶ ἄλλοι αὐτοῖς συνίσασιν, ὡς οὐδένα εἶπον, ἐκ τῶν αἰδοίων δήσας ἀπέπεμψεν ἐς τὸν τῶν ἀσεβῶν χῶρον μαλάχῃ πρότερον μαστιγωθέντας.

distancia. Entonces, Radamantis embarcó a cincuenta de sus héroes en una nave de un solo tronco de asfódelo y ordenó su persecución. Éstos corrieron con ahínco y alrededor del mediodía les dieron alcance, cuando ya penetraban en la zona láctea del Océano, cerca de Quesia, a punto de escapar; ataron su nave con una cadena de rosas y regresaron. Helena lloraba avergonzada y cubría su rostro; en cuanto a Cíniras y los suyos, Radamantis les preguntó en primer lugar si tenían otros cómplices, y, como respondieran que no, les mandó atados de las vergüenzas al territorio de los impíos, tras azotarles antes con malvas.

[2,27] ἐψηφίσαντο δὲ καὶ ἡμᾶς ἐμπροθέσμους ἐκπέμπειν ἐκ τῆς νήσου, τὴν ἐπιοῦσαν ἡμέραν μόνην ἐπιμείναντας. Ἐνταῦθα δὴ ἐγὼ ἐποτνιώμην τε καὶ ἐδάκρυον οἷα ἔμελλον ἀγαθὰ καταλιπὼν αὖθις πλανήσεσθαι. αὐτοὶ μέντοι παρεμυθοῦντο λέγοντες οὐ πολλῶν ἐτῶν ἀφίξεσθαι πάλιν ὡς αὐτούς, καί μοι ἤδη εἰς τοὐπιὸν θρόνον τε καὶ κλισίαν ἐπεδείκνυσαν πλησίον τῶν ἀρίστων. ἐγὼ δὲ προσελθὼν τῷ Ῥαδαμάνθυι πολλὰ ἱκέτευον εἰπεῖν τὰ μέλλοντα καὶ ὑποδεῖξαί μοι τὸν πλοῦν. ὁ δὲ ἔφασκεν ἀφίξεσθαι μὲν εἰς τὴν πατρίδα πολλὰ πρότερον πλανηθέντα καὶ κινδυνεύσαντα, τὸν δὲ χρόνον οὐκέτι τῆς ἐπανόδου προσθεῖναι ἠθέλησεν? ἀλλὰ δὴ καὶ δεικνὺς τὰς πλησίον νήσους—ἐφαίνοντο δὲ πέντε τὸν ἀριθμόν, ἄλλη δὲ ἕκτη πόρρωθεν—ταύτας μὲν εἶναι ἔφασκεν τῶν ἀσεβῶν, τὰς πλησίον, Ἀφ΄ ὧν, ἔφη, ἤδη τὸ πολὺ πῦρ ὁρᾷς καιόμενον, ἕκτη δὲ ἐκείνη τῶν ὀνείρων ἡ πόλις? μετὰ ταύτην δὲ ἡ τῆς Καλυψοῦς νῆσος, ἀλλ΄ οὐδέπω σοι φαίνεται. ἐπειδὰν δὲ ταύτας παραπλεύσῃς, τότε δὴ ἀφίξῃ εἰς τὴν μεγάλην ἤπειρον τὴν ἐναντίαν τῇ ὑφ΄ ὑμῶν κατοικουμένῃ? ἐνταῦθα δὴ πολλὰ παθὼν καὶ ποικίλα ἔθνη

27 Decretaron también que fuéramos expulsados de la isla antes del plazo, permitiéndonos permanecer sólo hasta el día siguiente. Entonces comencé yo a suplicar y a llorar por los bienes que iba a perder para vagar de nuevo, pero ellos me dieron ánimos diciendo que no tardaría muchos años en regresar a su lado, y me señalaron mi futuro trono y lecho junto a los más distinguidos. Me acerqué a Radamantis y le supliqué encarecidamente que predijera mi futuro y señalara el rumbo. Me respondió que llegaría a mi patria tras múltiples rodeos y peligros, mas no quiso precisar el momento de mi regreso; me señaló, sin embargo, las islas próximas —se divisaban cinco y había una sexta a lo lejos— y explicó que aquéllas, las cercanas, eran las de los impíos. «Son aquellas en que ves arder tan grandes hogueras —dijo—; en cuanto a la sexta, en la lejanía, es la isla de los Sueños. A continuación está la isla de Calipso, que ya no alcanzas a ver. Cuando las hayas bordeado, arribarás al gran continente que hay frente al que nosotros habitamos; allí vivirás numerosas aventuras, recorrerás toda clase de pueblos y vivirás con hombres

διελθὼν καὶ ἀνθρώποις ἀμίκτοις ἐπιδημήσας χρόνῳ ποτὲ ἥξεις εἰς τὴν ἑτέραν ἤπειρον. Τοσαῦτα εἶπεν.

insociables, hasta que, con el tiempo, llegues al otro continente.»

[2,28] καὶ ἀνασπάσας ἀπὸ τῆς γῆς μαλάχης ῥίζαν ὤρεξέν μοι, ταύτῃ κελεύσας ἐν τοῖς μεγίστοις κινδύνοις προσεύχεσθαι? παρῄνεσε δὲ εἰ καί ποτε ἀφικοίμην ἐς τήνδε τὴν γῆν, μήτε πῦρ μαχαίρᾳ σκαλεύειν μήτε θέρμους ἐσθίειν μήτε παιδὶ ὑπὲρ τὰ ὀκτωκαίδεκα ἔτη πλησιάζειν? τούτων γὰρ ἂν μεμνημένον ἐλπίδας ἔχειν τῆς εἰς τὴν νῆσον ἀφίξεως. Τότε μὲν οὖν τὰ περὶ τὸν πλοῦν παρεσκευασάμην, καὶ ἐπεὶ καιρὸς ἦν, συνειστιώμην αὐτοῖς. τῇ δὲ ἐπιούσῃ ἐλθὼν πρὸς Ὅμηρον τὸν ποιητὴν ἐδεήθην αὐτοῦ ποιῆσαί μοι δίστιχον ἐπίγραμμα? καὶ ἐπειδὴ ἐποίησεν, στήλην βηρύλλου λίθου ἀναστήσας ἐπέγραψα πρὸς τῷ λιμένι. τὸ δὲ ἐπίγραμμα ἦν τοιόνδε,

28 Ésas fueron sus palabras; arrancó de la tierra una raíz de malva y me la ofreció, diciéndome que la invocara en los más graves peligros; me aconsejó también que, si regresaba a este país, no atizara el fuego con un cuchillo, ni comiera altramuces, ni me uniera a un joven mayor de dieciocho años[95], ya que, de observar estos consejos, podría tener esperanzas de regresar a la isla.
A partir de entonces preparé el viaje y, en el tiempo señalado, participé con ellos del festín. Al día siguiente me dirigí a Homero, el poeta, y le rogué que me compusiera un dístico para grabarlo; cuando lo hubo compuesto, coloqué una estela de berilo junto al puerto y lo grabé. La inscripción decía:

Λουκιανὸς τάδε πάντα φίλος μακάρεσσι θεοῖσιν εἶδέ τε καὶ πάλιν ἦλθε φίλην ἐς πατρίδα γαῖαν.

Todo esto Luciano, amado de los felices dioses, vio, y partió de regreso a su tierra nativa.

[2,29] μείνας δὲ κἀκείνην τὴν ἡμέραν, τῇ ἐπιούσῃ ἀνηγόμην τῶν ἡρώων παραπεμπόντων. ἔνθα μοι καὶ Ὀδυσσεὺς προσελθὼν λάθρᾳ τῆς Πηνελόπης δίδωσιν ἐπιστολὴν εἰς Ὠγυγίαν τὴν νῆσον Καλυψοῖ κομίζειν. συνέπεμψε δέ μοι ὁ Ῥαδάμανθυς τὸν πορθμέα Ναύπλιον, ἵν᾽ ἐὰν καταχθείημεν ἐς τὰς νήσους, μηδεὶς ἡμᾶς συλλάβῃ ἅτε κατ᾽ ἄλλην ἐμπορίαν καταπλέοντας. Ἐπεὶ δὲ τὸν εὐώδη ἀέρα προϊόντες παρεληλύθειμεν, αὐτίκα ἡμᾶς ὀσμή τε δεινὴ διεδέχετο οἷον ἀσφάλτου καὶ θείου καὶ πίττης ἅμα καιομένων, καὶ κνῖσα δὲ πονηρὰ καὶ ἀφόρητος ὥσπερ ἀνθρώπων ὀπτωμένων, καὶ ὁ ἀὴρ ζοφερὸς καὶ ὁμιχλώδης, καὶ κατέσταζεν ἐξ αὐτοῦ δρόσος πιττίνη? ἠκούομεν δὲ καὶ μαστίγων ψόφον καὶ οἰμωγὴν ἀνθρώπων πολλῶν.

29 Permanecí también aquel día, y al siguiente zarpé, escoltado por los héroes. En aquel momento se me acercó Ulises, a escondidas de Penélope, y me dio una carta para que la llevara a la isla Ogigia, para Calipso. Radamantis envió conmigo al piloto Nauplio, a fin de que, de detenernos en las islas, nadie nos apresara pensando que íbamos allí por otro negocio.
Tan pronto avanzamos y dejamos atrás el aire perfumado, nos salió al paso un olor terrible, como de asfalto, azufre y pez, que abrasaba al tiempo, y un aroma atroz e insoportable, como de hombres asados; el aire estaba sombrío y neblinoso, y de él se desprendía un rocío de pez. Al tiempo, oíamos el chasquido de látigos y el lamento de muchos hombres.

[95] El primero es un precepto pitagórico; los otros dos son burlas lucianescas, al parecer.

[2,30] ταῖς μὲν οὖν ἄλλαις οὐ προσέσχομεν, ἧς δὲ ἐπέβημεν, τοιάδε ἦν? κύκλῳ μὲν πᾶσα κρημνώδης καὶ ἀπόξυρος, πέτραις καὶ τράχωσι κατεσκληκυῖα, δένδρον δ΄ οὐδὲν οὐδὲ ὕδωρ ἐνῆν? ἀνερπύσαντες δὲ ὅμως κατὰ τοὺς κρημνοὺς προήειμεν διά τινος ἀκανθώδους καὶ σκολόπων μεστῆς ἀτραποῦ, πολλὴν ἀμορφίαν τῆς χώρας ἐχούσης. ἐλθόντες δὲ ἐπὶ τὴν εἱρκτὴν καὶ τὸ κολαστήριον, πρῶτα μὲν τὴν φύσιν τοῦ τόπου ἐθαυμάζομεν? τὸ μὲν γὰρ ἔδαφος αὐτὸ μαχαίραις καὶ σκόλοψι πάντῃ ἐξηνθήκει, κύκλῳ δὲ ποταμοὶ περιέρρεον, ὁ μὲν βορβόρου, ὁ δὲ δεύτερος αἵματος, ὁ δὲ ἔνδον πυρός, πάνυ μέγας οὗτος καὶ ἀπέρατος, καὶ ἔρρει ὥσπερ ὕδωρ καὶ ἐκυματοῦτο ὥσπερ θάλαττα, καὶ ἰχθῦς δὲ εἶχεν πολλούς, τοὺς μὲν δαλοῖς προσεοικότας, τοὺς δὲ μικροὺς ἄνθραξι πεπυρωμένοις? ἐκάλουν δὲ αὐτοὺς λυχνίσκους.

30 No arribamos a las otras islas, pero aquella en que desembarcamos era por doquier rocosa y pelada, árida entre peñas y riscos, y no había ni un árbol, ni agua. Trepamos, sin embargo, por las rocas y avanzamos por un sendero lleno de espinos y abrojos, resultando el país sumamente feo. Mientras nos dirigíamos al recinto y lugar de castigo, nos impresionaba ante todo la contextura del terreno. El suelo mismo hallábase por doquier sembrado de cuchillos y picas, y en derredor fluían tres ríos, uno de fango, otro de sangre y otro interior de fuego; este último, enorme e invadeable, fluía como agua y formaba oleaje como el mar, y tenía muchos peces, unos semejantes a antorchas, y otros, pequeños, a carbones encendidos: les llamaban «lamparillas»[96].

[2,31] εἴσοδος δὲ μία στενὴ διὰ πάντων ἦν, καὶ πυλωρὸς ἐφειστήκει Τίμων ὁ Ἀθηναῖος. παρελθόντες δὲ ὅμως τοῦ Ναυπλίου καθηγουμένου ἑωρῶμεν κολαζομένους πολλοὺς μὲν βασιλέας, πολλοὺς δὲ καὶ ἰδιώτας, ὧν ἐνίους καὶ ἐγνωρίζομεν? εἴδομεν δὲ καὶ τὸν Κινύραν καπνῷ ὑποτυφόμενον ἐκ τῶν αἰδοίων ἀπηρτημένον. προσετίθεσαν δὲ οἱ περιηγηταὶ καὶ τοὺς ἑκάστων βίους καὶ τὰς ἁμαρτίας ἐφ΄ αἷς κολάζονται? καὶ μεγίστας ἁπασῶν τιμωρίας ὑπέμενον οἱ ψευσάμενοί τι παρὰ τὸν βίον καὶ οἱ μὴ τὰ ἀληθῆ συγγεγραφότες, ἐν οἷς καὶ Κτησίας ὁ Κνίδιος ἦν καὶ Ἡρόδοτος καὶ ἄλλοι πολλοί. τούτους οὖν ὁρῶν ἐγὼ χρηστὰς εἶχον εἰς τοὐπιὸν τὰς ἐλπίδας? οὐδὲν γὰρ ἐμαυτῷ ψεῦδος εἰπόντι συνηπιστάμην.

31 Existía una sola y estrecha vía de penetración a través de todos los obstáculos, y en ella montaba guardia .Timón el ateniense. Pasamos, sin embargo, conducidos por Nauplio, y vimos cómo muchos reyes sufrían castigos, al igual que muchos particulares. De todos ellos reconocimos en ocasiones a algunos: vimos, por ejemplo, a Cíniras envuelto en humo, colgado de sus vergüenzas. Explicaban los guías la vida de cada uno y las faltas por las que eran castigados; las más severas penas recaían sobre los aficionados a mentir en vida y quienes no escribieron la verdad, entre los que se contaban Ctesias de Cnido, Heródoto y otros muchos. Al verles, concebí buenas esperanzas para el futuro, pues jamás dije yo una mentira a sabiendas.

[2,32] ταχέως δ΄ οὖν ἀναστρέψας ἐπὶ τὴν ναῦν—οὐδὲ γὰρ ἠδυνάμην φέρειν τὴν

32 Rápidamente, pues, emprendí el regreso a la nave, ya que no podía soportar el

[96] Griego *lýchniskoi.*

ὄψιν—ἀσπασάμενος τὸν Ναύπλιον ἀπέπλευσα. Καὶ μετ΄ ὀλίγον ἐφαίνετο πλησίον ἡ τῶν ὀνείρων νῆσος, ἀμυδρὰ καὶ ἀσαφὴς ἰδεῖν? ἔπασχε δὲ καὶ αὐτή τι τοῖς ὀνείροις παραπλήσιον? ὑπεχώρει γὰρ προσιόντων ἡμῶν καὶ ὑπέφευγε καὶ πορρωτέρω ὑπέβαινε. καταλαβόντες δέ ποτε αὐτὴν καὶ εἰσπλεύσαντες εἰς τὸν Ὕπνον λιμένα προσαγορευόμενον πλησίον τῶν πυλῶν τῶν ἐλεφαντίνων, ᾗ τὸ τοῦ Ἀλεκτρυόνος ἱερόν ἐστιν, περὶ δείλην ὀψίαν ἀπεβαίνομεν? παρελθόντες δὲ ἐς τὴν πόλιν πολλοὺς ὀνείρους καὶ ποικίλους ἑωρῶμεν. πρῶτον δὲ βούλομαι περὶ τῆς πόλεως εἰπεῖν, ἐπεὶ μηδὲ ἄλλῳ τινὶ γέγραπται περὶ αὐτῆς, ὃς δὲ καὶ μόνος ἐπεμνήσθη Ὅμηρος, οὐ πάνυ ἀκριβῶς συνέγραψεν.

espectáculo; me despedí de Nauplio, y zarpé. Al poco tiempo veíase de cerca la isla de los Sueños, oscura y de aspecto impreciso, asemejándose ella misma en cierto modo a los sueños, pues retrocedía cuando nos acercábamos, huía y se apartaba un buen trecho. Dímosle alcance al fin y, tras penetrar en el llamado Puerto de Hipno[97], desembarcamos cerca de las Puertas de Marfil[98], donde está el templo del Gallo[99], caída ya la tarde. Penetramos en la ciudad y vimos muchos sueños de toda especie. En primer lugar, quiero referirme a la ciudad, ya que nadie ha escrito acerca de ella, y Homero[100], el único que la mencionara, no tocó el tema con mucha exactitud,

[2,33] κύκλῳ μὲν περὶ πᾶσαν αὐτὴν ὕλη ἀνέστηκεν, τὰ δένδρα δέ ἐστι μήκωνες ὑψηλαὶ καὶ μανδραγόραι καὶ ἐπ΄ αὐτῶν πολύ τι πλῆθος νυκτερίδων? τοῦτο γὰρ μόνον ἐν τῇ νήσῳ γίνεται ὄρνεον. ποταμὸς δὲ παραρρέει πλησίον ὁ ὑπ΄ αὐτῶν καλούμενος Νυκτιπόρος, καὶ πηγαὶ δύο παρὰ τὰς πύλας? ὀνόματα καὶ ταύταις, τῇ μὲν Νήγρετος, τῇ δὲ Πανννυχία. ὁ περίβολος δὲ τῆς πόλεως ὑψηλός τε καὶ ποικίλος, ἴριδι τὴν χρόαν ὁμοιότατος? πύλαι μέντοι ἔπεισιν οὐ δύο, καθάπερ Ὅμηρος εἴρηκεν, ἀλλὰ τέσσαρες, δύο μὲν πρὸς τὸ τῆς Βλακείας πεδίον ἀποβλέπουσαι, ἡ μὲν σιδηρᾶ, ἡ δὲ κεράμου πεποιημένη, καθ΄ ἃς ἐλέγοντο ἀποδημεῖν αὐτῶν οἵ τε φοβεροὶ καὶ φονικοὶ καὶ ἀπηνεῖς, δύο δὲ πρὸς τὸν λιμένα καὶ τὴν θάλατταν, ἡ μὲν κερατίνη, ἡ δὲ καθ΄ ἣν

33 En torno a ella, por doquier, se extiende un bosque; los árboles son altas adormideras y mandrágoras, y sobre ellas hay gran número de murciélagos, siendo éste el único ser alado que existe en la isla. Un río corre allí Cerca, al que ellos llaman Noctámbulo[101], y hay dos fuentes junto a las puertas, llamadas Dormilona[102] y Todanoche[103]. El muro de la ciudad es alto y policromo, muy semejante en color al arco iris; las puertas que hay en él no son dos, como dice Homero, sino cuatro: dos miran al llano de la Blandura[104] (una es de hierro y la otra de barro), por las que, según decían, salen los sueños terroríficos, criminales y molestos; y dos dan al puerto y el mar (una de cuerno y otra de marfil, por la que nosotros penetramos). Al entrar en la ciudad, a la

[97] *Hýpnos* en griego significa «sueño» como estado, frente a *óneiros* «sueño» como visión.
[98] Cf. HOMERO, *Odisea* XIX 560 ss. Los sueños que salen por las Puertas de Marfil son engañosos, frente a los que lo hacen por las Puertas de Cuerno, que son veraces.
[99] El gallo, heraldo del día, aparece asociado al mundo de los sueños.
[100] Cf. nota 32.
[101] Griego *Nyktíporos* = «el que avanza en la noche».
[102] Griego *Negretos.*
[103] Griego *Pannychía.* Alusión a las dos fuentes de Troya (*Ilíada* XXII 147 ss.).
[104] Griego *Blakeías pedíon.*

ἡμεῖς παρήλθομεν ἐλεφαντίνη. εἰσιόντι δὲ εἰς τὴν πόλιν ἐν δεξιᾷ μέν ἐστι τὸ Νυκτῷον—σέβουσι γὰρ θεῶν ταύτην μάλιστα καὶ τὸν Ἀλεκτρυόνα? ἐκείνῳ δὲ πλησίον τοῦ λιμένος τὸ ἱερὸν πεποίηται—ἐν ἀριστερᾷ δὲ τὰ τοῦ Ὕπνου βασίλεια. οὗτος γὰρ δὴ ἄρχει παρ᾽ αὐτοῖς σατράπας δύο καὶ ὑπάρχους πεποιημένος, Ταραξίωνά τε τὸν Ματαιογένους καὶ Πλουτοκλέα τὸν Φαντασίωνος. ἐν μέσῃ δὲ τῇ ἀγορᾷ πηγή τίς ἐστιν, ἣν καλοῦσι Καρεῶτιν? καὶ πλησίον ναοὶ δύο, Ἀπάτης καὶ Ἀληθείας? ἔνθα καὶ τὸ ἄδυτόν ἐστιν αὐτοῖς καὶ τὸ μαντεῖον, οὗ προεστήκει προφητεύων Ἀντιφῶν ὁ τῶν ὀνείρων ὑποκριτής, ταύτης παρὰ τοῦ Ὕπνου λαχὼν τῆς τιμῆς.

derecha está el templo de la Noche —pues ésta es la divinidad que más veneran, así como el Gallo, cuyo santuario está edificado cerca del puerto—, y a la izquierda el palacio de Hipno. Éste reina en el país y ha nombrado dos sátrapas y gobernadores, Sueñopesado[105], hijo de Fútil[106], y Acaudalado[107], hijo de Fantasión[108]. En el centro de la plaza hay una fuente a la que llaman Amodorrada[109], y cerca hay dos templos, el de la Falsedad y el de la Verdad: allí tienen ellos su lugar sacrosanto y su oráculo, donde ejercía como profeta Antifonte[110], el intérprete de los sueños, que había recibido este cargo de Hipno.

[2,34] αὐτῶν μέντοι τῶν ὀνείρων οὔτε φύσις οὔτε ἰδέα ἡ αὐτή, ἀλλ᾽ οἱ μὲν μακροὶ ἦσαν καὶ καλοὶ καὶ εὐειδεῖς, οἱ δὲ μικροὶ καὶ ἄμορφοι, καὶ οἱ μὲν χρύσεοι, ὡς ἐδόκουν, οἱ δὲ ταπεινοί τε καὶ εὐτελεῖς. ἦσαν δ᾽ ἐν αὐτοῖς καὶ πτερωτοί τινες καὶ τερατώδεις, καὶ ἄλλοι καθάπερ ἐς πομπὴν διεσκευασμένοι, οἱ μὲν ἐς βασιλέας, οἱ δὲ ἐς θεούς, οἱ δὲ εἰς ἄλλα τοιαῦτα κεκοσμημένοι. πολλοὺς δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν, πάλαι παρ᾽ ἡμῖν ἑωρακότες, οἳ δὴ καὶ προσήεσαν καὶ ἠσπάζοντο ὡς ἂν καὶ συνήθεις ὑπάρχοντες, καὶ παραλαβόντες ἡμᾶς καὶ κατακοιμίσαντες πάνυ λαμπρῶς καὶ δεξιῶς ἐξένιζον, τήν τε ἄλλην ὑποδοχὴν μεγαλοπρεπῆ παρασκευάσαντες καὶ ὑπισχνούμενοι βασιλέας τε ποιήσειν καὶ σατράπας. ἔνιοι δὲ καὶ ἀπῆγον ἡμᾶς εἰς τὰς πατρίδας καὶ τοὺς οἰκείους ἐπεδείκνυον καὶ αὐθημερὸν ἐπανῆγον.

34 En cuanto a los sueños propiamente dichos, ni su naturaleza ni su aspecto eran siempre idénticos: unos eran altos, hermosos y de buen ver, mientras otros eran pequeños y feos; unos parecían ser de oro, mientras otros eran humildes y mezquinos; había entre ellos algunos alados[111] y portentosos, y otros ataviados como para un cortejo, caracterizados unos de reyes, otros de dioses, otros de diversos personajes. A muchos de ellos los reconocimos, pues en tiempos pasados los habíamos visto en casa, y éstos se acercaban a saludarnos, tratándonos con familiaridad, y, tras tomarnos y hacernos dormir, nos dispensaban una excelente y esmerada hospitalidad, preparando una magnífica acogida en todos los aspectos y prometiendo hacernos reyes y sátrapas; algunos hasta nos conducían a nuestras tierras, nos mostraban a nuestros seres

---

[105] Griego *Taraxiōn.* Alude a la perturbación del sueño agitado.
[106] Griego *Mataiogénēs,* literalmente «de vano linaje».
[107] Griego *Ploutoklēs,* apuntando a los sueños de riquezas (cf. *Gallo).*
[108] Griego *Phantasíōn.* L. GIL traduce «Fantasmón».
[109] Griego *Kareōtis.*
[110] Tal vez el sofista enemigo de Sócrates, autor de un tratado sobre la interpretación de los sueños.
[111] Los sueños eran imaginados provistos de alas; cf. EURÍPIDES, *Hécuba* 70; OVIDIO, *Metamorfosis* XI 656.

queridos, y en el mismo día nos hacían regresar.

[2,35] ἡμέρας μὲν οὖν τριάκοντα καὶ ἴσας νύκτας παρ᾽ αὐτοῖς ἐμείναμεν καθεύδοντες εὐωχούμενοι. ἔπειτα δὲ ἄφνω βροντῆς μεγάλης καταρραγείσης ἀνεγρόμενοι καὶ ἀναθορόντες ἀνήχθημεν ἐπισιτισάμενοι. Τριταῖοι δ᾽ ἐκεῖθεν τῇ Ὠγυγίᾳ νήσῳ προσσχόντες ἀπεβαίνομεν. πρότερον δ᾽ ἐγὼ λύσας τὴν ἐπιστολὴν ἀνεγίνωσκον τὰ γεγραμμένα. ἦν δὲ τοιάδε? Ὀδυσσεὺς Καλυψοῖ χαίρειν. Ἴσθι με, ὡς τὰ πρῶτα ἐξέπλευσα παρὰ σοῦ τὴν σχεδίαν κατασκευασάμενος, ναυαγίᾳ χρησάμενον μόλις ὑπὸ Λευκοθέας διασωθῆναι εἰς τὴν τῶν Φαιάκων χώραν, ὑφ᾽ ὧν ἐς τὴν οἰκείαν ἀποπεμφθεὶς κατέλαβον πολλοὺς τῆς γυναικὸς μνηστῆρας ἐν τοῖς ἡμετέροις τρυφῶντας? ἀποκτείνας δὲ ἅπαντας ὑπὸ Τηλεγόνου ὕστερον τοῦ ἐκ Κίρκης μοι γενομένου ἀνηρέθην, καὶ νῦν εἰμι ἐν τῇ Μακάρων νήσῳ πάνυ μετανοῶν ἐπὶ τῷ καταλιπεῖν τὴν παρὰ σοὶ δίαιταν καὶ τὴν ὑπὸ σοῦ προτεινομένην ἀθανασίαν. ἢν οὖν καιροῦ λάβωμαι, ἀποδρὰς ἀφίξομαι πρὸς σέ. ταῦτα μὲν ἐδήλου ἡ ἐπιστολή, καὶ περὶ ἡμῶν, ὅπως ξενισθῶμεν.

35 Durante treinta días y otras tantas noches permanecimos con ellos, deleitándonos con los sueños. Luego, al estruendo inesperado de un trueno ensordecedor, despertamos, nos levantamos y partimos tras acopiar provisiones.
Al tercer día de nuestra partida arribamos a la isla Ogigia y desembarcamos. Primero, yo mismo abrí la carta y leí el texto. Decía así: «Ulises a Calipso, salud. Debes saber que, tan pronto zarpé de tu tierra, construida mi balsa, tuve un naufragio y a duras penas logré llegar a salvo, gracias a Leucótea, al país de los feacios, que me devolvieron a mi patria, donde encontré a numerosos pretendientes de mi mujer gozando de mi casa y hacienda; tras conseguir darles muerte a todos, fui posteriormente abatido por Telégono, el hijo que tuve de Circe, y ahora estoy en la isla de los Dichosos, totalmente arrepentido de haber abandonado mi vida junto a ti y la inmortalidad que me habías prometido; por tanto, en cuanto tenga oportunidad huiré y llegaré junto a ti.» Éste era el texto de la carta, y añadía, respecto a nosotros, que nos diese acogida.

[2,36] ἐγὼ δὲ προελθὼν ὀλίγον ἀπὸ τῆς θαλάττης εὗρον τὸ σπήλαιον τοιοῦτον οἷον Ὅμηρος εἶπεν, καὶ αὐτὴν ταλασιουργοῦσαν. ὡς δὲ τὴν ἐπιστολὴν ἔλαβεν καὶ ἐπελέξατο, πρῶτα μὲν ἐπὶ πολὺ ἐδάκρυεν, ἔπειτα δὲ παρεκάλει ἡμᾶς ἐπὶ ξένια καὶ εἱστία λαμπρῶς καὶ περὶ τοῦ Ὀδυσσέως ἐπυνθάνετο καὶ περὶ τῆς Πηνελόπης, ὁποία τε εἴη τὴν ὄψιν καὶ εἰ σωφρονοίη, καθάπερ Ὀδυσσεὺς πάλαι περὶ αὐτῆς ἐκόμπαζεν? καὶ ἡμεῖς τοιαῦτα ἀπεκρινάμεθα, ἐξ ὧν εἰκάζομεν εὐφρανεῖσθαι αὐτήν.

36 Yo avancé un corto trecho desde el mar y descubrí la cueva, tal como Homero[112] la describiera, y a Calipso trabajando la lana. Tomó la carta, la leyó, estuvo llorando largo rato primero, y después nos brindó su hospitalidad, nos dio un espléndido festín y nos preguntó acerca de Ulises, y también de Penélope, cómo era ella físicamente y si era discreta, como Ulises se ufanaba en proclamar antaño[113]. Nosotros le dimos las respuestas que estimamos iban a complacerla. Tras esto, regresamos a la nave

[112] *Odisea* V 55 ss.
[113] *Odisea* V 201 ss.

y dormimos cerca de allí, junto al litoral.

[2,37] Τότε μὲν οὖν ἀπελθόντες ἐπὶ ναῦν πλησίον ἐπὶ τῆς ἠόνος ἐκοιμήθημεν. ἕωθεν δὲ ἀνηγόμεθα σφοδρότερον κατιόντος τοῦ πνεύματος? καὶ δὴ χειμασθέντες ἡμέρας δύο τῇ τρίτῃ περιπίπτομεν τοῖς Κολοκυνθοπειραταῖς. ἄνθρωποι δέ εἰσιν οὗτοι ἄγριοι ἐκ τῶν πλησίον νήσων ληστεύοντες τοὺς παραπλέοντας. τὰ πλοῖα δὲ ἔχουσι μεγάλα κολοκύνθινα τὸ μῆκος πήχεων ἑξήκοντα? ἐπειδὰν γὰρ ξηράνωσι τὴν κολόκυνθαν, κοιλάναντες αὐτὴν καὶ ἐξελόντες τὴν ἐντεριώνην ἐμπλέουσιν, ἱστοῖς μὲν χρώμενοι καλαμίνοις, ἀντὶ δὲ τῆς ὀθόνης τῷ φύλλῳ τῆς κολοκύνθης. προσβαλόντες οὖν ἡμῖν ἀπὸ δύο πληρωμάτων ἐμάχοντο καὶ πολλοὺς κατετραυμάτιζον βάλλοντες τῷ σπέρματι τῶν κολοκυνθῶν. ἀγχωμάλως δὲ ἐπὶ πολὺ ναυμαχοῦντες περὶ μεσημβρίαν εἴδομεν κατόπιν τῶν Κολοκυνθοπειρατῶν προσπλέοντας τοὺς Καρυοναύτας. πολέμιοι δὲ ἦσαν ἀλλήλοις, ὡς ἔδειξαν? ἐπεὶ γὰρ κἀκεῖνοι ἤσθοντο αὐτοὺς ἐπιόντας, ἡμῶν μὲν ὠλιγώρησαν, τραπόμενοι δὲ ἐπ΄ ἐκείνους ἐναυμάχουν.

37 A la aurora zarpamos, al aumentar la fuerza del viento. Bajo la tempestad por dos días, al tercero vinimos a dar con los calabazapiratas[114]. Son, éstos, salvajes de las islas vecinas, que apresan a cuantos navegan por allí. Tienen grandes naves, hechas de calabazas, de unos sesenta codos de eslora; pues después de secar la calabaza la vacían, eliminando la parte interior, y navegan en ella, utilizando mástiles de caña, y por vela la hoja de calabaza. Nos atacaron dos tripulaciones, lucharon con nosotros y nos hirieron a muchos, disparándonos, en vez de piedras, semillas de calabaza. Luego de luchar mucho tiempo equilibradamente, a mediodía vimos, tras los calabazapiratas, aproximarse a los nueznautas[115]; eran enemigos entre sí, como lo demostraron, pues tan pronto aquéllos se apercibieron de su proximidad, se desentendieron de nosotros, viraron y les plantaron combate.

[2,38] ἡμεῖς δὲ ἐν τοσούτῳ ἐπάραντες τὴν ὀθόνην ἐφεύγομεν ἀπολιπόντες αὐτοὺς μαχομένους, καὶ δῆλοι ἦσαν κρατήσοντες οἱ Καρυοναῦται ἅτε καὶ πλείους—πέντε γὰρ εἶχον πληρώματα— καὶ ἀπὸ ἰσχυροτέρων νεῶν μαχόμενοι? τὰ γὰρ πλοῖα ἦν αὐτοῖς κελύφανα καρύων ἡμίτομα, κεκενωμένα, μέγεθος δὲ ἑκάστου ἡμιτομίου εἰς μῆκος ὀργυιαὶ πεντεκαίδεκα. Ἐπεὶ δὲ ἀπεκρύψαμεν αὐτούς, ἰώμεθα τοὺς τραυματίας, καὶ τὸ λοιπὸν ἐν τοῖς ὅπλοις ὡς ἐπίπαν ἦμεν, ἀεί τινας ἐπιβουλὰς προσδεχόμενοι? οὐ μάτην.

38 Nosotros, al tiempo, enarbolamos nuestro velamen y huimos, dejándoles a ellos en plena lucha; y era evidente que iban a vencer los nueznautas, ya que eran más numerosos —tenían cinco tripulaciones— y luchaban desde naves más robustas: seis embarcaciones eran medias cáscaras de nueces vacías, y el tamaño de cada mitad equivalía, en longitud, a quince brazas[116]. Una vez que les perdimos de vista, curamos a los heridos, y a partir de entonces solíamos permanecer armados, aguardando siempre algún ataque. Y no fue en vano.

---

[114] Griego *Kolokynthopeirataí.*

[115] Griego *Karyonaútai.*

[116] Una *orgyiá* o «braza» tiene 1,776 m

[2,39] οὔπω γοῦν ἐδεδύκει ὁ ἥλιος, καὶ ἀπό τινος ἐρήμου νήσου προσήλαυνον ἡμῖν ὅσον εἴκοσι ἄνδρες ἐπὶ δελφίνων μεγάλων ὀχούμενοι, λῃσταὶ καὶ οὗτοι? καὶ οἱ δελφῖνες αὐτοὺς ἔφερον ἀσφαλῶς, καὶ ἀναπηδῶντες ἐχρεμέτιζον ὥσπερ ἵπποι. ἐπεὶ δὲ πλησίον ἦσαν, διαστάντες οἱ μὲν ἔνθεν, οἱ δὲ ἔνθεν ἔβαλλον ἡμᾶς σηπίαις ξηραῖς καὶ ὀφθαλμοῖς καρκίνων. τοξευόντων δὲ ἡμῶν καὶ ἀκοντιζόντων οὐκέτι ὑπέμενον, ἀλλὰ τρωθέντες οἱ πολλοὶ αὐτῶν πρὸς τὴν νῆσον κατέφυγον.

39 En efecto, aún no se había puesto el sol, cuando desde una isla desierta avanzaron contra nosotros una veintena de hombres cabalgando sobre grandes delfines, piratas ellos también. Los delfines los transportaban con toda seguridad, corveteaban y relinchaban como caballos. Cuando se hallaban cerca, se dividieron a ambos lados, y nos atacaban con jibias secas y ojos de cangrejo; pero cuando nosotros les disparamos flechas y dardos no resistieron, y, heridos la mayoría de ellos, huyeron hacia la isla.

[2,40] Περὶ δὲ τὸ μεσονύκτιον γαλήνης οὔσης ἐλάθομεν προσοκείλαντες ἀλκυόνος καλιᾷ παμμεγέθει? σταδίων γοῦν ἦν αὕτη ἑξήκοντα τὸ περίμετρον. ἐπέπλεεν δὲ ἡ ἀλκυὼν τὰ ὠὰ θάλπουσα οὐ πολὺ μείων τῆς καλιᾶς. καὶ δὴ ἀναπταμένη μικροῦ μὲν κατέδυσε τὴν ναῦν τῷ ἀνέμῳ τῶν πτερῶν. ᾤχετο δ΄ οὖν φεύγουσα γοεράν τινα φωνὴν προϊεμένη. ἐπιβάντες δὲ ἡμεῖς ἡμέρας ἤδη ὑποφαινούσης ἐθεώμεθα τὴν καλιὰν σχεδίᾳ μεγάλῃ προσεοικυῖαν ἐκ δένδρων μεγάλων συμπεφορημένην? ἐπῆν δὲ καὶ ὠὰ πεντακόσια, ἕκαστον αὐτῶν Χίου πίθου περιπληθέστερον. ἤδη μέντοι καὶ οἱ νεοττοὶ ἔνδοθεν ἐφαίνοντο καὶ ἔκρωζον. πελέκεσιν γοῦν διακόψαντες ἓν τῶν ᾠῶν νεοττὸν ἄπτερον ἐξεκολάψαμεν εἴκοσι γυπῶν ἁδρότερον.

40 Hacia medianoche, reinando la calma, abordamos inesperadamente un nido descomunal de un alción: en efecto, tenía sesenta estadios[117] de circunferencia y navegaba en él la hembra empollando los huevos; ésta no era mucho menor que el nido; así, al desplegar el vuelo, estuvo a punto de sumergir la nave con el viento de sus alas. Emprendió, por tanto, la huida, emitiendo un graznido quejumbroso. Penetramos nosotros cuando el día comenzaba a romper y observamos el nido, semejante a una gran balsa, construido con enormes árboles. Había en su interior quinientos huevos, cada uno de ellos de mayor tamaño que una tinaja de Quíos[118]; ya se transparentaban los polluelos desde dentro y piaban. A hachazos logramos partir uno de los huevos y extrajimos una cría sin plumas, de mayor tamaño que veinte buitres.

[2,41] Ἐπεὶ δὲ πλέοντες ἀπείχομεν τῆς καλιᾶς ὅσον σταδίους διακοσίους, τέρατα ἡμῖν μεγάλα καὶ θαυμαστὰ ἐπεσήμανεν? ὅ τε γὰρ ἐν τῇ πρύμνῃ χηνίσκος ἄφνω ἐπτερύξατο καὶ ἀνεβόησεν, καὶ ὁ κυβερνήτης ὁ Σκίνθαρος φαλακρὸς ἤδη ὢν

41 Mientras navegábamos, distantes ya del nido unos doscientos estadios[119], se nos manifestaron grandes y admirables prodigios: el mascarón de popa en forma de cisne, de repente, cubrióse de plumas y comenzó a emitir graznidos, y el piloto

---

[117] 10.656 m.

[118] El *choûs*, medida para líquidos, tenía 3,24 l.

[119] 35.520 m.

ἀνεκόμησεν, καὶ τὸ πάντων δὴ παραδοξότατον, ὁ γὰρ ἱστὸς τῆς νεὼς ἐξεβλάστησεν καὶ κλάδους ἀνέφυσεν καὶ ἐπὶ τῷ ἄκρῳ ἐκαρποφόρησεν, ὁ δὲ καρπὸς ἦν σῦκα καὶ σταφυλὴ μέλαινα, οὔπω πέπειρος. ταῦτα ἰδόντες ὡς εἰκὸς ἐταράχθημεν καὶ ηὐχόμεθα τοῖς θεοῖς διὰ τὸ ἀλλόκοτον τοῦ φαντάσματος.

Escíntaro, que era calvo, volvió a tener melena[120]; pero lo más sorprendente de todo fue que el mástil de la nave rebrotó, echó, ramas y se cargó de frutos en la copa; los frutos eran higos y uvas negras aún no maduras[121]. Al ver todo aquello, como es lógico, nos sobresaltamos e invocábamos a los dioses, dado lo insólito del fenómeno.

[2,42] οὔπω δὲ πεντακοσίους σταδίους διελθόντες εἴδομεν ὕλην μεγίστην καὶ λάσιον πιτύων καὶ κυπαρίττων. καὶ ἡμεῖς μὲν εἰκάσαμεν ἤπειρον εἶναι? τὸ δ΄ ἦν πέλαγος ἄβυσσον ἀρρίζοις δένδροις καταπεφυτευμένον? εἱστήκει δὲ τὰ δένδρα ὅμως ἀκίνητα, ὀρθὰ καθάπερ ἐπιπλέοντα. πλησιάσαντες δ΄ οὖν καὶ τὸ πᾶν κατανοήσαντες ἐν ἀπόρῳ εἰχόμεθα τί χρὴ δρᾶν? οὔτε γὰρ διὰ τῶν δένδρων πλεῖν δυνατὸν ἦν—πυκνὰ γὰρ καὶ προσεχῆ ὑπῆρχεν—οὔτε ἀναστρέφειν ἐδόκει ῥᾴδιον? ἐγὼ δὲ ἀνελθὼν ἐπὶ τὸ μέγιστον δένδρον ἐπεσκόπουν τὰ ἐπέκεινα ὅπως ἔχοι, καὶ ἑώρων ἐπὶ σταδίους μὲν πεντήκοντα ἢ ὀλίγῳ πλείους τὴν ὕλην οὖσαν, ἔπειτα δὲ αὖθις ἕτερον ὠκεανὸν ἐκδεχόμενον. καὶ δὴ ἐδόκει ἡμῖν ἀναθεμένους τὴν ναῦν ἐπὶ τὴν κόμην τῶν δένδρων— πυκνὴ δὲ ἦν—ὑπερβιβάσαι, εἰ δυναίμεθα, εἰς τὴν θάλατταν τὴν ἑτέραν? καὶ οὕτως ἐποιοῦμεν. ἐκδήσαντες γὰρ αὐτὴν κάλῳ μεγάλῳ καὶ ἀνελθόντες ἐπὶ τὰ δένδρα μόλις ἀνιμησάμεθα, καὶ θέντες ἐπὶ τῶν κλάδων, πετάσαντες τὰ ἱστία καθάπερ ἐν θαλάττῃ ἐπλέομεν τοῦ ἀνέμου προωθοῦντος ἐπισυρόμενοι? ἔνθα δὴ καὶ τὸ Ἀντιμάχου τοῦ ποιητοῦ ἔπος ἐπεισῆλθέ με—φησὶν γάρ που κἀκεῖνος,

42 Aún no habíamos avanzado quinientos estadios cuando divisamos un vasto y espeso bosque de pinos y cipreses; nosotros imaginamos que era tierra firme, mas era un mar insondable poblado de árboles sin raíces, aun cuando los árboles se erguían inmóviles, rectos como si flotaran verticales. Nos aproximamos y, tras considerar todas las posibilidades, permanecíamos en duda acerca de la decisión a tomar, pues navegar a través de los árboles no era posible, dado su grosor y espesura, y dar la vuelta no parecía fácil; yo subí al árbol más alto, oteé lo que había a continuación y vi que el bosque se extendía unos cincuenta estadios o algo más, y después seguía otro océano. Decidimos, por tanto, elevar la nave hasta las copas de los árboles, que eran espesas, e intentar transportarla por arriba hasta el mar siguiente; y así lo hicimos. La atamos a un gran cable y, subidos en los árboles, logramos izarla con gran esfuerzo; tras posarla sobre las ramas, desplegamos las velas y navegábamos como en el mar, movidos a impulso del viento. A la sazón vino a mi mente aquel verso de Antímaco, que dice en un pasaje:

Τοῖσιν δ΄ ὑλήεντα διὰ πλόον ἐρχομένοισιν.

A *aquellos que navegan por sendas nemorosas*[122].

[120] Por el *contagium* mágico del ambiente.
[121] Cf. *Himno homérico* VII 38.
[122] *Fr.* 62 KINKEL.

[2,43] Βιασάμενοι δὲ ὅμως τὴν ὕλην ἀφικόμεθα ἐς τὸ ὕδωρ, καὶ πάλιν ὁμοίως καθέντες τὴν ναῦν ἐπλέομεν διὰ καθαροῦ καὶ διαυγοῦς ὕδατος, ἄχρι δὴ ἐπέστημεν χάσματι μεγάλῳ ἐκ τοῦ ὕδατος διεστῶτος γεγενημένῳ, καθάπερ ἐν τῇ γῇ πολλάκις ὁρῶμεν ὑπὸ σεισμῶν γενόμενα διαχωρίσματα. ἡ μὲν οὖν ναῦς καθελόντων ἡμῶν τὰ ἱστία οὐ ῥᾳδίως ἔστη παρ᾽ ὀλίγον ἐλθοῦσα κατενεχθῆναι. ὑπερκύψαντες δὲ ἡμεῖς ἑωρῶμεν βάθος ὅσον σταδίων χιλίων μάλα φοβερὸν καὶ παράδοξον? εἱστήκει γὰρ τὸ ὕδωρ ὥσπερ μεμερισμένον? περιβλέποντες δὲ ὁρῶμεν κατὰ δεξιὰ οὐ πάνυ πόρρωθεν γέφυραν ἐπεζευγμένην ὕδατος συνάπτοντος τὰ πελάγη κατὰ τὴν ἐπιφάνειαν, ἐκ τῆς ἑτέρας θαλάττης εἰς τὴν ἑτέραν διαρρέοντος. προσελάσαντες οὖν ταῖς κώπαις κατ᾽ ἐκεῖνο παρεδράμομεν καὶ μετὰ πολλῆς ἀγωνίας ἐπεράσαμεν οὔποτε προσδοκήσαντες.

43 Venciendo la resistencia del bosque logramos llegar al agua y, tras colocar la nave en la misma posición, navegábamos a través de un agua pura y transparente, hasta que llegamos al borde de una enorme grieta producida por el agua que se escindía, como los cortes que vemos con frecuencia en la tierra, producidos por los terremotos. La nave, pese a que nosotros amainamos las velas, no pudo detenerse fácilmente, y a punto estuvo de precipitarse. Nos asomamos nosotros y vimos una sima de unos mil estadios[123], sobremanera horrible y prodigiosa, pues el agua quedaba detenida, como cortada. Miramos en derredor y vimos a la derecha, no muy lejos, un puente de unión de agua, que enlazaba ambos piélagos por la superficie, fluyendo de un mar a otro. Al impulso de los remos intentamos cruzar por él y con gran esfuerzo lo atravesamos, cosa que no creímos poder conseguir.

[2,44] Ἐντεῦθεν ἡμᾶς ὑπεδέχετο πέλαγος προσηνὲς καὶ νῆσος οὐ μεγάλη, εὐπρόσιτος, συνοικουμένη? ἐνέμοντο δὲ αὐτὴν ἄνθρωποι ἄγριοι, Βουκέφαλοι, κέρατα ἔχοντες, οἷον παρ᾽ ἡμῖν τὸν Μινώταυρον ἀναπλάττουσιν. ἀποβάντες δὲ προῄειμεν ὑδρευσόμενοι καὶ σιτία ληψόμενοι, εἴ ποθεν δυνηθείημεν? οὐκέτι γὰρ εἴχομεν. καὶ ὕδωρ μὲν αὐτοῦ πλησίον εὕρομεν, ἄλλο δὲ οὐδὲν ἐφαίνετο, πλὴν μυκηθμὸς πολὺς οὐ πόρρωθεν ἠκούετο. δόξαντες οὖν ἀγέλην εἶναι βοῶν, κατ᾽ ὀλίγον προχωροῦντες ἐπέστημεν τοῖς ἀνθρώποις. οἱ δὲ ἰδόντες ἡμᾶς ἐδίωκον, καὶ τρεῖς μὲν τῶν ἑταίρων λαμβάνουσιν, οἱ δὲ λοιποὶ πρὸς τὴν θάλατταν καταφεύγομεν. εἶτα μέντοι πάντες ὁπλισάμενοι—οὐ γὰρ ἐδόκει ἡμῖν ἀτιμωρήτους περιδεῖν τοὺς φίλους—ἐμπίπτομεν τοῖς Βουκεφάλοις τὰ κρέα τῶν ἀνηρημένων διαιρουμένοις? φοβήσαντες δὲ

44 A partir de allí nos aguardaba un mar suave y una isla no demasiado grande, de fácil acceso y habitada. La poblaban unos salvajes, los bucéfalos 124, dotados de cuernos, de modo semejante a nuestras representaciones del Minotauro. Desembarcamos y penetramos con el propósito de aprovisionar agua y conseguir alimentos, pues los habíamos agotado. Agua encontramos inmediatamente, y no parecía haber alguna otra cosa, excepto frecuentes mugidos, que se oían no muy lejanos; en la creencia de que era una manada de bueyes, avanzamos lentamente y vinimos a dar con los hombres descritos. Ellos, en cuanto nos vieron, nos persiguieron y capturaron a tres de nuestros compañeros, mientras los demás logramos huir hacia el mar. A continuación, una vez todos armados, resueltos a no dejar sin venganza a nuestros amigos, atacamos a

[123] 177.600 m.

πάντας διώκομεν, καὶ κτείνομέν γε ὅσον πεντήκοντα καὶ ζῶντας αὐτῶν δύο λαμβάνομεν, καὶ αὖθις ὀπίσω ἀναστρέφομεν τοὺς αἰχμαλώτους ἔχοντες. σιτίον μέντοι οὐδὲν εὕρομεν. οἱ μὲν οὖν ἄλλοι παρήνουν ἀποσφάττειν τοὺς εἰλημμένους, ἐγὼ δὲ οὐκ ἐδοκίμαζον, ἀλλὰ δήσας ἐφύλαττον αὐτούς, ἄχρι δὴ ἀφίκοντο παρὰ τῶν Βουκεφάλων πρέσβεις ἀπαιτοῦντες ἐπὶ λύτροις τοὺς συνειλημμένους? συνίεμεν γὰρ αὐτῶν διανευόντων καὶ γοερόν τι μυκωμένων ὥσπερ ἱκετευόντων. τὰ λύτρα δὲ ἦν τυροὶ πολλοὶ καὶ ἰχθύες ξηροὶ καὶ κρόμμυα καὶ ἔλαφοι τέτταρες, τρεῖς ἑκάστη πόδας ἔχουσα, δύο μὲν τοὺς ὄπισθεν, οἱ δὲ πρόσω ἐς ἕνα συμπεφύκεσαν. ἐπὶ τούτοις ἀποδόντες τοὺς συνειλημμένους καὶ μίαν ἡμέραν ἐπιμείναντες ἀνήχθημεν.

los bucéfalos mientras se repartían las carnes de las víctimas. Los pusimos en fuga y perseguimos a todos, matando a unos cincuenta, y capturamos vivos a dos de ellos; entonces emprendimos el regreso con nuestros prisioneros, aunque sin hallar alimento alguno. Todos me instaban a degollar a los cautivos, pero yo no accedí: mandé atarles y los vigilaba, hasta que llegaron embajadores de parte de los bucéfalos solicitando los prisioneros a cambio de rescate; les entendíamos por sus movimientos de cabeza y mugidos quejumbrosos como de súplica. El rescate consistía en gran cantidad de quesos, pescados secos, cebollas y cuatro ciervas, que tenían sólo tres patas, dos de ellas traseras, pues las delanteras habíanles nacido unidas. A cambio de ello les devolvimos a los presos y, tras permanecer un día, zarpamos.

[2,45] Ἤδη δὲ ἰχθύες τε ἡμῖν ἐφαίνοντο καὶ ὄρνεα παρεπέτετο καὶ ἄλλ᾽ ὁπόσα γῆς πλησίον οὔσης σημεῖα προφαίνεται. μετ᾽ ὀλίγον δὲ καὶ ἄνδρας εἴδομεν καινῷ τῳ τρόπῳ ναυτιλίας χρωμένους? αὐτοὶ γὰρ καὶ ναῦται καὶ νῆες ἦσαν. λέξω δὲ τοῦ πλοῦ τὸν τρόπον? ὕπτιοι κείμενοι ἐπὶ τοῦ ὕδατος ὀρθώσαντες τὰ αἰδοῖα—μεγάλα δὲ φέρουσιν—ἐξ αὐτῶν ὀθόνην πετάσαντες καὶ ταῖς χερσὶν τοὺς ποδεῶνας κατέχοντες ἐμπίπτοντος τοῦ ἀνέμου ἔπλεον. ἄλλοι δὲ μετὰ τούτους ἐπὶ φελλῶν καθήμενοι ζεύξαντες δύο δελφῖνας ἤλαυνόν τε καὶ ἡνιόχουν? οἱ δὲ προϊόντες ἐπεσύροντο τοὺς φελλούς. οὗτοι ἡμᾶς οὔτε ἠδίκουν οὔτε ἔφευγον, ἀλλ᾽ ἤλαυνον ἀδεῶς τε καὶ εἰρηνικῶς τὸ εἶδος τοῦ ἡμετέρου πλοίου θαυμάζοντες καὶ πάντοθεν περισκοποῦντες.

45 Ya comenzábamos a ver peces, los pájaros volaban por allí, y aparecían todos los demás indicios de estar cerca de tierra. Poco después vimos a unos hombres que practicaban un modo insólito de navegación, pues eran a la vez marineros y embarcaciones. Explicaré su modo de navegar: yacían boca arriba sobre el agua, enarbolaban sus miembros viriles —que poseen de gran tamaño—, extendían el velamen desde ellos, sujetaban las cuerdas con sus manos y navegaban impulsados por el viento; otros seguían a éstos sentados en corchos, con un par de delfines uncidos, que arreaban y conducían; al avanzar los delfines arrastraban los corchos. Estos ni nos atacaron ni huyeron, sino que conducían sin temor y en paz, mientras admiraban la forma de nuestra embarcación y la observaban por todas partes.

[2,46] Ἑσπέρας δὲ ἤδη προσήχθημεν νήσῳ οὐ μεγάλῃ? κατῳκεῖτο δὲ ὑπὸ γυναικῶν, ὡς

46 Ya de noche, llegamos a una isla de no grandes dimensiones, habitada por mujeres

ἐνομίζομεν, Ἑλλάδα φωνὴν προϊεμένων? προσήεσαν γὰρ καὶ ἐδεξιοῦντο καὶ ἠσπάζοντο, πάνυ ἑταιρικῶς κεκοσμημέναι καὶ καλαὶ πᾶσαι καὶ νεάνιδες, ποδήρεις τοὺς χιτῶνας ἐπισυρόμεναι. ἡ μὲν οὖν νῆσος ἐκαλεῖτο Κοβαλοῦσα, ἡ δὲ πόλις αὐτὴ Ὑδαμαργία. λαχοῦσαι δ΄ οὖν ἡμᾶς αἱ γυναῖκες ἑκάστη πρὸς ἑαυτὴν ἀπῆγεν καὶ ξένον ἐποιεῖτο. ἐγὼ δὲ μικρὸν ἀποστὰς— οὐ γὰρ χρηστὰ ἐμαντευόμην—ἀκριβέστερόν τε περιβλέπων ὁρῶ πολλῶν ἀνθρώπων ὀστᾶ καὶ κρανία κείμενα. καὶ τὸ μὲν βοὴν ἱστάναι καὶ τοὺς ἑταίρους συγκαλεῖν καὶ ἐς τὰ ὅπλα χωρεῖν οὐκ ἐδοκίμαζον. προχειρισάμενος δὲ τὴν μαλάχην πολλὰ ηὐχόμην αὐτῇ διαφυγεῖν ἐκ τῶν παρόντων κακῶν? μετ΄ ὀλίγον δὲ τῆς ξένης διακονουμένης εἶδον τὰ σκέλη οὐ γυναικός, ἀλλ΄ ὄνου ὁπλάς? καὶ δὴ σπασάμενος τὸ ξίφος συλλαμβάνω τε αὐτὴν καὶ δήσας περὶ τῶν ὅλων ἀνέκρινον. ἡ δέ, ἄκουσα μέν, εἶπεν δὲ ὅμως, αὐτὰς μὲν εἶναι θαλαττίους γυναῖκας Ὀνοσκελέας προσαγορευομένας, τροφὴν δὲ ποιεῖσθαι τοὺς ἐπιδημοῦντας ξένους. ἐπειδὰν γάρ, ἔφη, μεθύσωμεν αὐτούς, συνευνηθεῖσαι κοιμωμένοις ἐπιχειροῦμεν. ἀκούσας δὲ ταῦτα ἐκείνην μὲν αὐτοῦ κατέλιπον δεδεμένην, αὐτὸς δὲ ἀνελθὼν ἐπὶ τὸ τέγος ἐβόων τε καὶ τοὺς ἑταίρους συνεκάλουν. ἐπεὶ δὲ συνῆλθον, τὰ πάντα ἐμήνυον αὐτοῖς καὶ τά γε ὀστᾶ ἐδείκνυον καὶ ἦγον ἔσω πρὸς τὴν δεδεμένην? ἡ δὲ αὐτίκα ὕδωρ ἐγένετο καὶ ἀφανὴς ἦν. ὅμως δὲ τὸ ξίφος εἰς τὸ ὕδωρ καθῆκα πειρώμενος? τὸ δὲ αἷμα ἐγένετο.

—según creímos—que hablaban griego. Se acercaron, nos saludaron y abrazaron. Ataviadas muy a la usanza cortesana, eran todas hermosas y jóvenes, vestidas con túnicas telares.
La isla se llamaba Hechicería[125], y la ciudad, Canal de Agua[126]. Tomó cada mujer a uno de nosotros, nos llevó a su casa y nos hizo su huésped. Yo marché aparte un momento, pues no sospechaba nada bueno, y observando con más atención vi muchos huesos y calaveras humanas esparcidos por tierra. No me pareció oportuno lanzar el grito, reunir a los compañeros y empuñar las armas, pero tomé entre mis manos la malva y le imploré repetidas veces escapar de aquellos males. Poco después, mientras mi anfitriona me servía, vi que no tenía piernas de mujer, sino cascos de asno. Entonces desenvainé mi espada, la reduje y até, y le pregunté por la totalidad de sus planes. Contra su voluntad terminó confesando que ellas eran mujeres del mar, llamadas «perniburras»[127], y que se alimentaban de los extranjeros que las visitaban. «Después de emborracharlos nos acostamos con ellos y les atacamos mientras duermen». Tras escuchar su relato, la dejé allí atada, subí al terrado y me puse a gritar, llamando a mis compañeros. Cuando acudieron se lo expliqué todo, les mostré los huesos y los introduje junto a la que tenía atada, pero ella al punto se volvió agua y desapareció. Sin embargo, introduje mi espada en el agua para probar, y se volvió sangre.

[2,47] Ταχέως οὖν ἐπὶ ναῦν κατελθόντες ἀπεπλεύσαμεν. καὶ ἐπεὶ ἡμέρα ὑπηύγαζεν, ἤδη τὴν ἤπειρον ἀπεβλέπομεν εἰκάζομέν τε εἶναι τὴν ἀντιπέρας τῇ ὑφ΄ ἡμῶν οἰκουμένῃ

47 Rápidamente, pues, regresamos a la nave y zarpamos. Cuando la luz del día comenzó a brillar, avistamos tierra y creímos que era el continente opuesto al que nosotros

[125] Griego *Kabaloûsa.* Son inciertas tanto la forma definitiva (según los mss, y ed.) como la significación de este nombre, así como las del siguiente.
[126] Griego *Hydamargía.*
[127] Griego *Onoskeleîs.*

κειμένην. προσκυνήσαντες δ΄ οὖν καὶ προσευξάμενοι περὶ τῶν μελλόντων ἐσκοποῦμεν, καὶ τοῖς μὲν ἐδόκει ἐπιβᾶσιν μόνον αὖθις ὀπίσω ἀναστρέφειν, τοῖς δὲ τὸ μὲν πλοῖον αὐτοῦ καταλιπεῖν, ἀνελθόντας δὲ ἐς τὴν μεσόγαιαν πειραθῆναι τῶν ἐνοικούντων. ἐν ὅσῳ δὲ ταῦτα ἐλογιζόμεθα, χειμὼν σφοδρὸς ἐπιπεσὼν καὶ προσαράξας τὸ σκάφος τῷ αἰγιαλῷ διέλυσεν. ἡμεῖς δὲ μόλις ἐξενηξάμεθα τὰ ὅπλα ἕκαστος καὶ εἴ τι ἄλλο οἷός τε ἦν ἁρπασάμενοι.

Ταῦτα μὲν οὖν τὰ μέχρι τῆς ἑτέρας γῆς συνενεχθέντα μοι ἐν τῇ θαλάττῃ καὶ παρὰ τὸν πλοῦν ἐν ταῖς νήσοις καὶ ἐν τῷ ἀέρι καὶ μετὰ ταῦτα ἐν τῷ κήτει καὶ ἐπεὶ ἐξήλθομεν, παρά τε τοῖς ἥρωσι καὶ τοῖς ὀνείροις καὶ τὰ τελευταῖα παρὰ τοῖς Βουκεφάλοις καὶ ταῖς Ὀνοσκελέαις, τὰ δὲ ἐπὶ τῆς γῆς ἐν ταῖς ἑξῆς βίβλοις διηγήσομαι.

habitamos. Tras postrarnos y rezar, comenzamos a pensar en el futuro. Algunos proponían desembarcar tan sólo y dar la vuelta de nuevo; otros, dejar la nave allí, penetrar hasta el interior del territorio y tomar contacto con sus habitantes. Mientras debatíamos esta cuestión sobrevino una fuerte tempestad, que estrelló la embarcación contra el litoral y la destruyó. En cuanto a nosotros, nadamos con dificultad, tras hacernos con las armas y salvar cada cual lo que pudo.

Esto es cuanto me ocurrió hasta que llegué al otro continente[128], en el mar, a lo largo de mi viaje por las islas y el aire, y tras él en la ballena; y, después que logramos salir, entre los héroes y los sueños, y por último entre los bucéfalos y las perniburras. Lo que ocurrió en el otro continente lo relataré en los libros que siguen[129].



[128] Intuición geográfica de los antiguos.

[129] Ésta es la mayor mentira, como apunta el escoliasta, pues este libro no estuvo, sin duda, en el ánimo de Luciano escribirlo jamás.